ΛΕΙΤΟΥΡΓΙΑΙ


ΤΩΝ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ,

Ἰακώβου τοῦ ἀποστόλου καὶ ἀδελφοθέου.
Βασιλείου τοῦ μεγάλου.
Ἰωάννου τοῦ χρυσοστόμου.

ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΗι ΛΕΙΤΟΥΡΓΙΑι.

Διονυσίου τοῦ ἀρεοπαγίτου.
Ἰουστίνου τοῦ φιλοσόφου καὶ μάρτυρος.
Γρηγορίου τοῦ Νύσσης ἀρχιεπισκόπου.
Ἰωάννου τοῦ δαμασκηνοῦ.
Νικολάου τοῦ Μεθώνης ἐπισκόπου.
Σαμωνᾶ τοῦ Γάζης ἀρχιεπισκόπου.
Μάρκου τοῦ Ἐφέσου ἀρχιεπισκόπου.
Γερμανοῦ τοῦ Κωνσταντινουπόλεως ἀρχιεπισκόπου.
Πρόκλου Κωνσταντινουπόλεως ἀρχιεπισκόπου.

Omnia Latinè seorsim excusa sunt.



Βασιλεῖ τ' ἀγαθῷ κρατερῷ τ' αἰχμητῇ.

PARISIIS, M. D. LX.
Apud Guil. Morelium, in Græcis typographum Regium.
PRIVILEGIO REGIS.

Ἔνεστι τάδε ἐν τῷ παρόντι βιβλίῳ.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Πρόκλου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, περὶ παραδόσεως τῆς θείας λειτουργίας. σελίδ. 1.

Ἡ θεία λειτουργία τοῦ ἁγίου ἀποστόλου καὶ ἀδελφοθέου Ἰακώβου. 3.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου τοῦ μεγάλου. 43.

Ἰωάννου τοῦ χρυσοστόμου. 69.

Ἐκ τῶν Διονυσίου τοῦ ἀρεοπαγίτου, περὶ τῶν ἐν συνάξει τελουμένων. 111.

Ἐκ τῶν Ἰουστίνου τοῦ φιλοσόφου καὶ μάρτυρος, περὶ λειτουργίας. 121.

Γρηγορίου τοῦ ἀρχιεπισκόπου Νύσσης, ὅτι ὁ ἁγιαζόμενος ἄρτος, εἰς τὸ σῶμα τοῦ θεοῦ λόγου μεταποιεῖται, καὶ ὅτι ἀνάγκη τῇ ἀνθρωπείᾳ φύσει, αὐτοῦ μεταλαβεῖν. 123.

Ἰωάννου τοῦ δαμασκηνοῦ, ὅτι ὁ ἱερουργούμενος ἄρτος καὶ οἶνος οὐκ ἔστι τύπος τοῦ κυριακοῦ σώματος, ἀλλ' αὐτὸ ἐκεῖνο ἀληθῶς τὸ ἴδιον σῶμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ. 125.

Νικολάου τοῦ ἐπισκόπου Μεθώνης, πρὸς τοὺς διστάζοντας καὶ λέγοντας ὅτι ὁ ἱερουργούμενος ἄρτος καὶ οἶνος οὐκ ἔστι σῶμα καὶ αἷμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ. 129.

Τοῦ Σαμωνᾶ ἀρχιεπισκόπου Γάζης διάλεξις πρὸς Ἀχμὲδ τὸν Σαρακηνόν, ἀποδεικνύουσα τὸν ὑπὸ τοῦ ἱερέως ἱερουργούμενον ἄρτον καὶ οἶνον, σῶμα καὶ αἷμα ἀληθινὸν καὶ ὁλόκληρον εἶναι τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ. 133.

Μάρκου τοῦ ἀρχιεπισκόπου Ἐφέσου, ὅτι οὐ μόνον ἀπὸ τῆς φωνῆς τῶν δεσποτικῶν ῥημάτων ἁγιάζονται τὰ θεῖα δῶρα, ἀλλ' ἐκ τῆς μετὰ ταῦτα εὐχῆς καὶ εὐλογίας τοῦ ἱερέως, δυνάμει τοῦ ἁγίου πνεύματος. 138.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γερμανοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, λειτουργίας ἱστορία καὶ μυστικὴ θεωρία. 145.

Pag. 2. versu 1. lege, ἔφθην. 11. 8. ἡμῶν. 39. 26. τὸ μόνον.
49. 1. προσάγομεν. 133. 15. διήλθομεν. 134. 35. ὁμῶς οὕτω.

ΚΑΝΩΝ λβ'. ΤΩΝ ΕΝ ΚΩΝ-
σταντινουπόλει ἐν τῷ Τρούλλῳ.

ΕΠΕΙΔΗ εἰς γνῶσιν ἡμετέραν ἦλθεν, ὡς ἐν τῇ τῶν ἀρμενίων χώρᾳ, οἶνον μόνον ἐν τῇ ἱερᾷ τραπέζῃ προσάγουσιν, ὕδωρ αὐτῷ μὴ μιγνύντες, οἱ τὴν ἀναίμακτον θυσίαν ἐπιτελοῦντες, προτιθέμενοι τὸν τῆς ἐκκλησίας διδάσκαλον Ἰωάννην τὸν χρυσόστομον, φάσκοντα διὰ τῆς εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον ἑρμηνείας, ταῦτα· τίνος ἕνεκεν οὐχ ὕδωρ ἔπιεν ἀναστάς, ἀλλ' οἶνον· ἄλλην αἵρεσιν πονηρὰν πρόρριζον ἀνασπῶν· ἐπειδὴ γάρ εἰσί τινες ἐν τοῖς μυστηρίοις ὕδατι κεχρημένοι, δεικνὺς ὅτι καὶ ἡνίκα τὰ μυστήρια παρέδωκε, καὶ ἡνίκα ἀναστὰς χωρὶς μυστηρίων ψιλὴν τράπεζαν παρετίθετο, οἴνῳ ἐκέχρητο, ἐκ τοῦ γεννήματος, φησί, τῆς ἀμπέλου· ἄμπελος δὲ οἶνον, οὐχ ὕδωρ γεννᾷ· ἐκ τούτου δὲ τὸν διδάσκαλον οἴονται ἀνατρέπειν τὴν τοῦ ὕδατος ἐν τῇ ἱερᾷ θυσίᾳ προσαγωγήν· ὡς ἂν μὴ καὶ ἀπὸ τοῦ νῦν κατέχοιντο τῇ ἀγνοίᾳ, τὴν τοῦ πατρὸς διάνοιαν ὀρθοδόξως ἀποκαλύπτομεν. τῆς γὰρ πονηρᾶς τῶν ὑδροπαραστατῶν αἱρέσεως παλαιᾶς ὑπαρχούσης, οἱ ἀντὶ οἴνου μόνῳ τῷ ὕδατι ἐν τῇ οἰκείᾳ θυσίᾳ κέχρηνται, ἀνασκευάζων οὕτως ὁ θεοφόρος ἀνὴρ τὸ παράνομον τῆς τοιαύτης αἱρέσεως δίδαγμα, καὶ δεικνὺς ὡς ἐξ ἐναντίας τῆς ἀποστολικῆς ἵενται παραδόσεως, τὸν εἰρημένον κατεσκεύασε λόγον· ἐπεὶ καὶ τῇ κατ' αὐτὸν ἐκκλησίᾳ, ἔνθα τὴν ποιμαντικὴν ἐνεχειρίσθη ἡγεμονίαν, ὕδωρ οἴνῳ μιγνύναι παρέδωκεν, ἡνίκα τὴν ἀναίμακτον θυσίαν ἐπιτελεῖσθαι δεήσειε, τὴν ἐκ τῆς τιμίας πλευρᾶς τοῦ λυτρωτοῦ ἡμῶν καὶ σωτῆρος χριστοῦ τοῦ θεοῦ ἐξ αἵματος καὶ ὕδατος κρᾶσιν παραδεικνύς, ἥτις εἰς ζωοποίησιν παντὸς τοῦ κόσμου ἐξεχέθη, καὶ ἁμαρτιῶν ἀπολύτρωσιν. καὶ κατὰ πάσης δὲ ἐκκλησίας, ἔνθα οἱ πνευματικοὶ φωστῆρες ἐξέλαμψαν, ἡ θεόσδοτος αὕτη τάξις κρατεῖ· καὶ γὰρ καὶ Ἰάκωβος ὁ κατὰ σάρκα χριστοῦ τοῦ θεοῦ ἡμῶν ἀδελφός, τῆς ἱεροσολυμιτῶν ἐκκλησίας πρῶτος τὸν θρόνον ἐμπιστευθείς, καὶ Βασίλειος ὁ τῆς καισαρέων ἐπίσκοπος, οὗ τὸ κλέος κατὰ πᾶσαν τὴν οἰκουμένην διέδραμεν, ἐγγράφως τὴν μυστικὴν ἡμῖν ἱερουργίαν παραδεδωκότες, οὕτω τελειοῦν ἐν τῇ θείᾳ λειτουργίᾳ ἐξ ὕδατος καὶ οἴνου τὸ ἱερὸν ποτήριον ἐκδεδώκασι. καὶ οἱ ἐν Καρθαγένῃ συναθροισθέντες ὅσιοι πατέρες, οὕτω ῥητῶς ἐπεμνήσθησαν, ἵνα ἐν τοῖς ἁγίοις μηδὲν πλέον τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ κυρίου προσενεχθείη, ὡς καὶ αὐτὸς ὁ κύριος παραδέδωκε, τουτέστιν ἄρτου καὶ οἴνου ὕδατι μεμιγμένου. εἴ τις οὖν ἐπίσκοπος, ἢ πρεσβύτερος, μὴ κατὰ τὴν παραδοθεῖσαν ὑπὸ τῶν ἀποστόλων τάξιν ποιεῖ, καὶ ὕδωρ οἴνῳ μιγνὺς, οὕτω τὴν ἄχραντον προσάγει θυσίαν, καθαιρείσθω, ὡς ἀτελῶς τὸ μυστήριον ἐξαγγέλλων, καὶ καινίζων τὰ παραδεδομένα.

ΤΟΥ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ἡμῶν Πρόκλου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως περὶ παραδόσεως τῆς θείας λειτουργίας.

Πολλοὶ μὲν καὶ ἄλλοι τῶν τοὺς ἱεροὺς ἀποστόλους διαδεξαμένων θεῖοι ποιμένες καὶ διδάσκαλοι τῆς ἐκκλησίας, τὴν τῆς μυστικῆς λειτουργίας ἔκθεσιν ἐγγράφως καταλιπόντες, τῇ ἐκκλησίᾳ παραδεδώκασιν. ἐξ ὧν οἱ πρῶτοι οὗτοι καὶ διαπρύσιοι τυγχάνουσιν· ὅ, τε μακάριος Κλήμης, ὁ τοῦ κορυφαίου τῶν ἀποστόλων μαθητὴς καὶ διάδοχος, αὐτῷ τῶν ἱερῶν ἀποστόλων ὑπαγορευσάντων· καὶ ὁ θεῖος Ἰάκωβος, ὁ τῆς ἱεροσολυμιτῶν ἐκκλησίας τὸν κλῆρον λαχών, καὶ ταύτης πρῶτος ἐπίσκοπος ὑπὸ τοῦ πρώτου καὶ μεγάλου ἀρχιερέως χριστοῦ τοῦ θεοῦ ἡμῶν κατασταθείς. ὁ δὲ μέγας Βασίλειος μετὰ ταῦτα τὸ ῥᾴθυμον καὶ καταφερὲς τῶν ἀνθρώπων θεωρῶν, καὶ διὰ τοῦτο τὸ τῆς λειτουργίας μῆκος ὀκνούντων, ταύτην οὐ περιττὴν καὶ μακρὰν εἶναι νομίζων, ἀλλὰ τὸ τῶν συνευχομένων τε καὶ ἀκροωμένων ῥᾴθυμον διὰ τὸ πολὺ τοῦ χρόνου παρανάλωμα ἐκκόπτων, ἐπιτομώτερον παρέδωκε λέγεσθαι. μετὰ τὴν εἰς οὐρανοὺς ἀνάληψιν τοῦ σωτῆρος ἡμῶν, οἱ ἀπόστολοι, πρὸ τοῦ εἰς τὴν οἰκουμένην πᾶσαν διασπαρῶσιν, ὁμοθυμαδὸν εὑρισκόμενοι, εἰς προσευχὰς πανημερίους ἐτέρποντο, καὶ τὴν τοῦ δεσποτικοῦ σώματος μυστικὴν ἱερουργίαν παραμύθιον εὑρηκότες, διεξοδικώτατα αὐτὴν ᾖδον· τοῦτο γὰρ καὶ τὸ διδάσκειν, πάντων προυργιαίτερον ἡγοῦντο. πολλῷ δὲ μᾶλλον μετ' εὐφροσύνης καὶ πλείστης χαρᾶς ἤδη προσκαρτεροῦντες τῇ τοιαύτῃ θείᾳ τελετῇ, ἀεὶ τοῦ κυριακοῦ μεμνημένοι λόγου, τοῦ τοῦτό ἐστι τὸ σῶμά μου, λέγοντος· καί, τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· καί, ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. διὸ καὶ πνεύματι συντετριμμένῳ πολλὰς εὐχὰς ἔλεγον, τὸν θεὸν ἐκλιπαροῦντες. οὐ μὴν ἀλλὰ καὶ τοὺς ἐξ ἰουδαίων καὶ ἐθνῶν νεοφωτίστους τοῖς τῆς χάριτος ἐθίζοντες, καὶ τὰ πρὸ τῆς χάριτος παραλείπειν διδάσκοντες, σκιὰ τῆς χάριτος ὑπάρχοντες, ὥσπερ ἐπαιδαγώγουν. διὰ τοιούτων τοίνυν εὐχῶν τὴν ἐπιφοίτησιν τοῦ ἁγίου πνεύματος προσεδόκων, ὅπως τῇ αὐτοῦ θείᾳ παρουσίᾳ τὸν προκείμενον εἰς ἱερουργίαν ἄρτον καὶ οἶνον ὕδατι μεμιγμένον, αὐτὸ ἐκεῖνο τὸ σῶμα καὶ αἷμα τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ ἀποφήνῃ τε καὶ ἀναδείξῃ. ὅπερ οὐκ ἔλαττον καὶ μέχρι τοῦ νῦν γίνεται, καὶ μέχρι συντελείας τοῦ αἰῶνος γενήσεται. ἀλλ' οἱ μετέπειτα τὸ στερρὸν καὶ θερμὸν τῆς πίστεως ἀποβαλόντες, ἐν ταῖς τοῦ κόσμου

ἔφην

πράξεσι καὶ φροντίσι καταγινόμενοι, τὸ μῆκος, ὡς ἔφην εἰπών, τῆς λειτουργίας ὀκνοῦντες, μόλις ἐφοίτων εἰς τὴν θείαν ἀκρόασιν τῶν δεσποτικῶν ῥημάτων. διὸ καὶ ὁ θεῖος Βασίλειος θεραπευτικῇ τινὶ μεθόδῳ χρώμενος, ἐπιτομώτερον ταύτην ἀπαγγέλ. μετ' οὐ πολὺ δὲ πάλιν ὁ ἡμέτερος πατήρ, ὁ τὴν γλῶτταν χρυσοῦς, Ἰωάννης, τῆς τῶν προβάτων σωτηρίας οἷα ποιμὴν προθύμως κηδόμενος, εἴς τε τὴν τῆς ἀνθρωπίνης φύσεως ἀθυμίαν ἐφορῶν, πρόρριζον πᾶσαν σατανικὴν πρόφασιν ἠβουλήθη ἀποσπάσασθαι· διὸ καὶ τὰ πολλὰ ἐπέτεμε, καὶ συντομώτερον τελεῖσθαι διετάξατο, ἵνα μὴ κατὰ μικρὸν οἱ ἄνθρωποι ἐλευθερίαν τινὰ καὶ σχολὴν τὰ μάλιστα φιλοῦντες, τοῖς τοῦ ἀντιπάλου διαλογισμοῖς ἐξαπατώμενοι, τῆς τοιαύτης ἀποστολικῆς καὶ θεϊκῆς παραδόσεως ἀφιστῶνται, ὡς πολλοὶ πολλάκις πολλαχόσε τοῦτο διαπραττόμενοι καὶ μέχρι τῆς σήμερον ἐφωράθησαν.

Ἡ ΘΕΙΑ

Η ΘΕΊΑ ΛΕΙΤΟΥΡΓΊΑ ΤΟΥ ἉΓΊΟΥ ἈΠΟΣΤΌΛΟΥ ΚΑῚ ἈΔΕΛΦΟΘΈΟΥ ἸΑΚΏΒΟΥ.

ἘΝ πλήθει ἁμαρτιῶν μεμολυσμένον με μὴ ἐξουδενώσῃς δέσποτα κύριε ὁ θεὸς ἡμῶν· ἰδοὺ γὰρ προσῆλθον τῷ θείῳ τούτῳ καὶ ἐπουρανίῳ μυστηρίῳ σου· οὐχ ὡς ἄξιος ὑπάρχων, ἀλλ᾽ εἰς τὴν σὴν ἀφορῶν ἀγαθότητα, ἀφίημί σοι τὴν φωνήν, ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ· ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ εἰμὶ ἄξιος ἀντοφθαλμῆσαι τῇ ἱερᾷ σου ταύτῃ καὶ πνευματικῇ τραπέζῃ, ἐφ᾽ ᾗ ὁ μονογενής σου υἱὸς καὶ κύριος ἡμῶν Ἰησοῦς χριστὸς, ἐμοὶ τῷ ἁμαρτωλῷ, καὶ πάσῃ κηλῖδι κατεστιγμένῳ, μυστικῶς πρόκειται εἰς θυσίαν· διὸ ταύτην σοι τὴν ἱκεσίαν καὶ εὐχαριστίαν προσάγω, τοῦ καταπεμφθῆναί μοι τὸ πνεῦμά σου τὸ παράκλητον ἐνισχῦον καὶ καταρτίζον με πρὸς τὴν λειτουργίαν ταύτην, καὶ τὴν παρὰ σοῦ μοι τῷ λαῷ ἐπαγγελθεῖσαν φωνὴν, ἀκατακρίτως ταύτην ἀποφθέγξασθαι καταξίωσον, ἐν χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ καὶ ὁμοουσίῳ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΕΥΧΗ ΤΗΣ ΠΑΡΑΣΤΑΣΕΩΣ.

ΔΟΞΑ τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, τῷ τριαδικῷ καὶ ἑνιαίῳ φωτὶ τῆς θεότητος, τῆς ἐν τριάδι μοναδικῶς ὑπαρχούσης, καὶ διαιρουμένης ἀδιαιρέτως· τριὰς γὰρ εἷς θεὸς παντοκράτωρ, οὗ τὴν δόξαν οἱ οὐρανοὶ διηγοῦνται· ἡ δὲ γῆ, τὴν αὐτοῦ δεσποτείαν· καὶ ἡ θάλασσα, τὸ αὐτοῦ κράτος· καὶ πᾶσα αἰσθητὴ καὶ νοητὴ κτίσις, τὴν αὐτοῦ μεγαλειότητα κηρύττει πάντοτε· ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ, κράτος, μεγαλωσύνη τε καὶ μεγαλοπρέπεια, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΕΥΧΗ ΤΟΥ ΘΥΜΙΑΜΑΤΟΣ ΤΗΣ εἰσόδου τῆς ἐνάρξεως.

ΔΕσποτα κύριε Ἰησοῦ χριστὲ, ὦ θεοῦ λόγε, ὁ ἑκουσίως ἑαυτὸν θυσίαν ἄμωμον ἐπὶ σταυροῦ τῷ θεῷ καὶ πατρὶ προσαγαγὼν, ὁ διφυὴς ἄνθραξ, ὁ τῇ λαβίδι τοῦ προφήτου χειλέων ἁψάμενος, καὶ τὰς ἁμαρτίας αὐτοῦ ἀφελόμενος, ἅψαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τῶν αἰσθήσεων, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλίδος, καὶ παράστησον ἡμᾶς ἁγνοὺς τῷ ἁγίῳ σου θυσιαστηρίῳ τοῦ προσενέγκαι σοι θυσίαν αἰνέσεως· καὶ πρόσδεξαι ἀφ' ἡμῶν τῶν ἀχρείων δούλων σου τὸ παρὸν θυμίαμα, εἰς ὀσμὴν εὐωδίας· καὶ εὐωδίασον ἡμῶν τὸ δυσῶδες τῆς ψυχῆς καὶ τοῦ σώματος· καὶ ἁγίασον ἡμᾶς τῇ ἁγιαστικῇ δυνάμει τοῦ παναγίου σου πνεύματος· σὺ γὰρ εἶ μόνος ἅγιος, ὁ ἁγιάζων καὶ τοῖς πιστοῖς μεταδιδόμενος· καὶ πρέπει σοι ἡ δόξα σὺν τῷ ἀνάρχῳ σου πατρὶ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΕΥΧΗ ΤΗΣ ΕΝΑΡΞΕΩΣ.

ΕΥεργέτα βασιλεῦ τῶν αἰώνων, καὶ τῆς κτίσεως ἁπάσης δημιουργὲ, πρόσδεξαι προσιοῦσάν σοι διὰ τοῦ χρι-

στοῦ

σοῦ σου τὴν ἐκκλησίαν σου· ἑκάστῳ τὸ συμφέρον ἐκπλήρωσον· ἄγαγε πάντας εἰς τελειότητα, καὶ ἀξίους ἡμᾶς ἀπέργασαι τῆς χάριτος τοῦ ἁγιασμοῦ σου, ἐπισυνάγων ἡμᾶς ἐν τῇ ἁγίᾳ σου ἐκκλησίᾳ, ἣν περιεποιήσω τῷ τιμίῳ αἵματι τοῦ μονογενοῦς σου υἱοῦ, κυρίου δὲ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ εὐλογητὸς εἶ καὶ δεδοξασμένος σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

Ο ΔΙΑΚΟΝΟΣ.

Ἐπὶ τοῦ κυρίου δεηθῶμεν.

Ο ΙΕΡΕΥΣ, ΕΥΧΗΝ ΤΟΥ ΘΥΜΙΑματος τῆς εἰσόδου τῆς συνάξεως.

Ὁ Θεὸς ὁ προσδεξάμενος Ἄβελ τὰ δῶρα, Νῶε καὶ Ἀβραὰμ τὴν θυσίαν, Ἀαρὼν καὶ Ζαχαρίου τὸ θυμίαμα, πρόσδεξαι καὶ ἐκ χειρὸς ἡμῶν τῶν ἁμαρτωλῶν τὸ θυμίαμα, πρόσδεξαι καὶ ἐκ χειρὸς ἡμῶν τῶν ἁμαρτωλῶν τὸ θυμίαμα τοῦτο εἰς ὀσμὴν εὐωδίας, καὶ ἄφεσιν τῶν ἁμαρτιῶν ἡμῶν, καὶ παντὸς τοῦ λαοῦ σου, ὅτι εὐλογημένος ὑπάρχεις, καὶ πρέπει σοι ἡ δόξα τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί.

Ο ΔΙΑΚΟΝΟΣ.

Κύριε εὐλόγησον.

Ο ΙΕΡΕΥΣ ΕΠΕΥΧΕΤΑΙ ΑΥΤΩ.

Ὁ Κύριος καὶ θεὸς ἡμῶν Ἰησοῦς Χριστὸς ὁ δι' ὑπερβολὴν ἀγαθότητος καὶ ἀκατάσχετον ἔρωτα σταυρωθείς, καὶ λόγχῃ καὶ ἥλοις προσηλῶσαι μὴ ἀπαναινόμενος· ὁ τὴν κρυφίαν καὶ ἐπίφοβον ταύτην τελετὴν, εἰς ἀνάμνησιν αἰωνίαν ἡμῖν ἐκτενῆ παρεχόμενος, εὐλογήσαι τὴν ἐν Χριστῷ τῷ θεῷ διακονίαν σου, καὶ εὐλογήσαι τὴν εἴσοδον ἡμῶν, καὶ ἐντελῶς τελειώσαι τὴν παράστασιν τῆς λειτουργίας ἡμῶν

ταύτης, τῇ ἀφάτῳ αὐτοῦ εὐσπλαγχνίᾳ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΕΥΧΗ ΑΠΟΚΡΙΤΙΚΗ ΠΑΡΑ
τοῦ διακόνου.

Ὁ Κύριος εὐλογήσαι καὶ ἀξιώσαι ἡμᾶς σεραφικῶς δωροφορῆσαι καὶ προσᾶσαι τὴν πολυύμνητον ᾠδὴν τοῦ ἐνθεαστικοῦ καὶ τρισαγίου, τῷ ἀνενδεεῖ καὶ ὑπερπλήρει πάσης τῆς ἁγιαστικῆς τελειότητος, νῦν καὶ ἀεί.

ΕΙΤΑ ΑΡΧΕΤΑΙ ΑΔΕΙΝ Ο
διάκονος ἐν τῇ εἰσόδῳ.

Ὁ μονογενὴς υἱὸς καὶ λόγος τοῦ θεοῦ ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε Χριστὲ ὁ θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς ἁγίας τριάδος, συνδοξαζόμενος τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, σῶσον ἡμᾶς.

Ο ΙΕΡΕΥΣ ΛΕΓΕΙ ΤΗΝ ΕΥΧΗΝ
ταύτην ἀπὸ τῶν πυλῶν ἕως τοῦ θυσιαστηρίου.

Ὁ θεὸς ὁ παντοκράτωρ, ὁ μεγαλώνυμος κύριος, ὁ δοὺς ἡμῖν εἴσοδον εἰς τὰ ἅγια τῶν ἁγίων, διὰ τῆς ἐπιδημίας τοῦ μονογενοῦς σου υἱοῦ, κυρίου δὲ καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἱκετεύομεν καὶ παρακαλοῦμεν τὴν σὴν ἀγαθότητα, ἐπειδὴ ἔμφοβοι καὶ ἔντρομοί ἐσμεν, μέλλοντες παρεστάναι τῷ ἁγίῳ σου θυσιαστηρίῳ, ἐξαπόστειλον ἐφ᾽ ἡμᾶς ὁ θεὸς τὴν χάριν σου τὴν ἀγαθήν, καὶ ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα καὶ τὰ πνεύματα, καὶ ἀλλοίωσον τὰ φρονήματα ἡμῶν πρὸς εὐσέβειαν, ἵνα ἐν καθαρῷ συνειδότι προσφέρωμέν σοι δῶρα, δόματα, καρπώματα, εἰς ἀθέτησιν τῶν ἡμετέρων πλημμελημάτων, καὶ εἰς ἱλασμὸν παντὸς τοῦ λαοῦ σου, χάριτι καὶ οἰκτιρμοῖς καὶ

φιλ

φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΜΕΤΑ ΤΟ ΕΙΣΕΛΘΕΙΝ ΕΙΣ ΤΟ θυσιαστήριον λέγει ὁ ἱερεύς.

Εἰρήνη πᾶσιν.

Ο ΛΑΟΣ.

Καὶ τῷ πνεύματί σου.

Ο ΙΕΡΕΥΣ.

Ὁ κύριος εὐλογήσαι πάντας ἡμᾶς, καὶ ἁγιάσαι ἐπὶ τῇ εἰσόδῳ καὶ ἱερουργίᾳ τῶν θείων καὶ ἀχράντων μυστηρίων, καὶ τὰς μακαρίας ψυχὰς ἀναπαύων μετὰ ἁγίων καὶ δικαίων, τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΕΙΤΑ ΛΕΓΕΙ Ο ΔΙΑΚΟ-νος συναπτήν.

Ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν. ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ θεοῦ φιλανθρωπίας καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ κυρίου δεηθῶμεν. ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, καὶ ἑνώσεως πασῶν τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν, τοῦ κυρίου δεηθῶμεν. ὑπὲρ ἀφέσεως τῶν ἁμαρτιῶν καὶ συγχωρήσεως τῶν πλημμελημάτων ἡμῶν, καὶ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, καὶ ἐπαναστάσεως ἐχθρῶν, τοῦ κυρίου δεηθῶμεν.

ΕΙΤΑ ΟΙ ΨΑΛΤΑΙ ΤΟΝ ΤΡΙ-σάγιον ψάλλουσιν ὕμνον.

Ἅγιος ὁ θεὸς, ἅγιος ἰσχυρὸς, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

ΚΑΙ Ο ΙΕΡΕΥΣ ΕΠΕΥΧΕ-ται ἐπικλινόμενος.

Οἰκτίρμον καὶ ἐλεῆμον, μακρόθυμε καὶ πολυέλεε καὶ

ἀληθινὲ κύριε, ἐπίβλεψον ἐξ ἑτοίμου κατοικητηρίου σου, καὶ ἐπάκουσον ἡμῶν τῶν σῶν ἱκετῶν, καὶ ῥῦσαι ἡμᾶς ἀπὸ παντὸς πειρασμοῦ διαβολικοῦ τε καὶ ἀνθρωπίνου, καὶ μὴ ἀποστήσῃς ἀφ᾽ ἡμῶν τὴν σὴν βοήθειαν· μηδὲ βαρυτέρας τῆς ἡμετέρας δυνάμεως παιδείας ἐπαγάγῃς ἡμῖν· ἡμεῖς γὰρ οὐχ ἱκανοὶ πρὸς τὸ νικᾶν τὰ ἀντιπίπτοντα· σὺ δὲ δυνατὸς εἶ κύριε εἰς τὸ σώζειν ἐκ πάντων τῶν ἐναντιωμάτων. σῶσον ἡμᾶς ὁ θεὸς ἐκ τῶν δυσχερῶν τοῦ κόσμου τούτου κατὰ τὴν χρηστότητά σου, ὅπως εἰσελθόντες ἐν καθαρᾷ συνειδήσει πρὸς τὸ ἅγιόν σου θυσιαστήριον, τὸν μακάριον καὶ τρισάγιον ὕμνον σὺν ταῖς ἐπουρανίαις δυνάμεσιν, ἀκατακρίτως ἀναπέμπωμέν σοι· καὶ τὴν εὐάρεστόν σοι καὶ θείαν ἐπιτελέσαντες λειτουργίαν, καταξιωθῶμεν τῆς αἰωνίου ζωῆς.

ΕΚΦΩΝΗΣΙΣ.

Ὅτι ἅγιος εἶ κύριε ὁ θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις κατοικεῖς καὶ ἐπαναπαύῃ, καὶ σοὶ τὴν δόξαν καὶ τὸν τρισάγιον ὕμνον ἀναπέμπομεν τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο ΛΑΟΣ.

Ἀμήν.

Ο ΙΕΡΕΥΣ.

Εἰρήνη πᾶσιν.

Ο ΛΑΟΣ.

Καὶ τῷ πνεύματί σου.

ΟΙ ΨΑΛΤΑΙ.

Ἀλληλούϊα.

ΕΙΤΑ ΑΝΑΓΙΝΩΣΚΕΤΑΙ ΔΙΕΞΟδικώτατα τὰ ἱερὰ λόγια τῆς παλαιᾶς διαθήκης καὶ τῶν προφητῶν, καὶ ἀποδείκνυται ἡ τοῦ υἱοῦ τοῦ θεοῦ ἐνανθρώπησις, τά τε πάθη καὶ ἡ ἐκ νεκρῶν ἀνάστασις, ἡ εἰς τοὺς οὐρανοὺς ἄνοδος, καὶ πάλιν ἡ δευτέρα αὐτοῦ

μετ

μετὰ δέξης προουσία. καὶ τοῦτο γίνεται καθ' ἑκάστην ἐν τῇ ἱερᾷ καὶ θείᾳ ἱερουργίᾳ. μετὰ δὲ τὸ ἀναγνῶσαι καὶ διδάξαι, λέγει ὁ διάκονος.

Εἴπωμεν πάντες, κύριε ἐλέησον· κύριε παντοκράτορ ὁ θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου ἐπάκουσον. ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ὑμῶν, τοῦ κυρίου δεηθῶμεν. ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, καὶ ἑνώσεως πασῶν τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν, τοῦ κυρίου δεηθῶμεν. ὑπὲρ σωτηρίας καὶ ἀντιλήψεως παντὸς τοῦ φιλοχρίστου λαοῦ, δεόμεθά σου ἐπάκουσον. ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, αἰχμαλωσίας, πικροῦ θανάτου, καὶ τῶν ἀνομιῶν ἡμῶν, δεόμεθά σου ἐπάκουσον. ὑπὲρ τοῦ περιεστῶτος λαοῦ καὶ ἀπεκδεχομένου τὸ παρὰ σοῦ πλούσιον καὶ μέγα ἔλεος, ἱκετεύομεν σε σπλαγχνίσθητι καὶ ἐλέησον. σῶσον ὁ θεὸς τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου. ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς. ὕψωσον κέρας χριστιανῶν τῇ δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ. ἱκετεύομεν σε πολυέλεε κύριε, ἐπάκουσον ἡμῶν δεομένων σου, καὶ ἐλέησον.

Ο ΛΑΟΣ.

Κύριε ἐλέησον. Ἐκ τρίτου.

Ο ΔΙΑΚΟΝΟΣ.

Ὑπὲρ ἀφέσεως ἁμαρτιῶν ἡμῶν καὶ συγχωρήσεως πλημμελημάτων, καὶ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ κυρίου δεηθῶμεν. τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον οἱ πάντες παρὰ τοῦ κυρίου αἰτησώμεθα. ἄγγελον εἰρήνης, πιστὸν ὁδηγὸν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ κυρίου αἰτησώμεθα. συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, πα-

παρὰ τοῦ κυρίου αἰτησώμεθα. Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ κυρίου αἰτησώμεθα. Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ ὑγείᾳ ἐκτελέσαι, παρὰ τοῦ κυρίου αἰτησώμεθα. Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ καὶ φρικτοῦ βήματος τοῦ χριστοῦ, αἰτησώμεθα.

Ο ΙΕΡΕΥΣ.

ΣΥ γὰρ εἶ ὁ εὐαγγελισμὸς καὶ ὁ φωτισμὸς, σωτὴρ καὶ φύλαξ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, ὁ θεὸς καὶ ὁ μονογενής σου υἱὸς, καὶ τὸ πνεῦμά σου τὸ πανάγιον, νῦν καὶ ἀεί.

Ο ΛΑΟΣ.

Ἀμήν.

Ο ΙΕΡΕΥΣ.

Τῆς παναγίας, ἀχράντου, ὑπερενδόξου, δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων καὶ δικαίων, μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν χριστῷ τῷ θεῷ παραθώμεθα.

Ο ΛΑΟΣ.

Σοὶ κύριε.

Ο ΙΕΡΕΥΣ.

Ο ἐνηχήσας ἡμᾶς θεὸς τὰ θεῖά σου λόγια καὶ σωτήρια, φώτισον τὰς ψυχὰς ἡμῶν τῶν ἁμαρτωλῶν εἰς τὴν τῶν προλεχθέντων κατάληψιν, ὡς μὴ μόνον ἀκροατὰς ὀφθῆναι τῶν πνευματικῶν ᾀσμάτων, ἀλλὰ καὶ ποιητὰς πράξεων ἀγαθῶν, πίστιν μετερχομένους ἀνύπουλον, βίον ἄμεμπτον, πολιτείαν ἀνέγκλητον.

ΕΚΦΩΝΗΣΙΣ.

ΕΝ χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

Ο ΛΑΟΣ.

Ἀμήν.

Ο ΙΕΡΕΥΣ.

Εἰρήνη πᾶσιν.

Ο ΛΑΟΣ.

Καὶ τῷ πνεύματί σου.

Ο ΔΙΑΚΟΝΟΣ.

Τὰς κεφαλὰς ὑμῶν τῷ κυρίῳ κλίνωμεν.

Ο ΛΑΟΣ.

Σοὶ κύριε.

Ο ΙΕΡΕΥΣ ΕΠΕΥΧΕΤΑΙ ΛΕΓΩΝ.

Δέσποτα ζωοποιὲ καὶ τῶν ἀγαθῶν χορηγὲ, ὁ δοὺς τοῖς ἀνθρώποις τὴν μακαρίαν ἐλπίδα τῆς αἰωνίου ζωῆς, τὸν κύριον ἡμῶν Ἰησοῦν χριστὸν, καταξίωσον ἡμᾶς ἐν ἁγιασμῷ καὶ ταύτην σοι τὴν θείαν ἐπιτελέσαι λειτουργίαν, εἰς ἀπόλαυσιν τῆς μελλούσης μακαριότητος.

ΕΚΦΩΝΗΣΙΣ.

Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, καὶ εἰς φῶς ἀληθείας ὁδηγούμενοι, σοὶ τὴν δόξαν καὶ τὴν εὐχαριστίαν ἀναπέμπωμεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί.

Ο ΛΑΟΣ.

Ἀμήν.

Ο ΔΙΑΚΟΝΟΣ.

Μή τις τῶν κατηχουμένων, μή τις τῶν ἀμυήτων, μή τις τῶν μὴ δυναμένων ἡμῖν συνδεηθῆναι. ἀλλήλους ἐπίγνωτε. τὰς θύρας. ὀρθοὶ πάντες. Ἐπὶ τοῦ κυρίου δεηθῶμεν.

Ο ΙΕΡΕΥΣ, ΕΥΧΗΝ ΤΟΥ ΘΥΜΙΑΜΑΤΟΣ.

Δέσποτα παντοκράτορ, βασιλεῦ τῆς δόξης, ὁ θεὸς ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν, αὐτὸς παρέσον ἡμῖν

ἐν τῇ ἁγίᾳ ὥρᾳ ταύτῃ ἐπικαλουμένοις σε· καὶ λύτρωσαι ἡμᾶς ἀπὸ αἰσχύνης παραπτωμάτων. κάθαρον ἡμῶν τὸν νοῦν καὶ τὰ φρονήματα ἀπὸ μιαρῶν ἐπιθυμιῶν καὶ κοσμικῆς ἀπάτης, καὶ πάσης διαβολικῆς ἐνεργείας· καὶ πρόσδεξαι ἐκ χειρὸς ἡμῶν τῶν ἁμαρτωλῶν τὸ θυμίαμα τοῦτο, ὡς προσεδέξω τὴν προσφορὰν Ἄβελ καὶ Νῶε, καὶ Ἀαρὼν καὶ Σαμουὴλ, καὶ πάντων σου τῶν ἁγίων, ῥυόμενος ἡμᾶς ἀπὸ παντὸς πονηροῦ πράγματος, καὶ σώζων εἰς τὸ πάντοτε εὐαρεστεῖν καὶ προσκυνεῖν καὶ δοξάζειν σε τὸν πατέρα καὶ τὸν μονογενῆ σου υἱόν, καὶ τὸ πνεῦμά σου τὸ πανάγιον, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

ΚΑΙ ΑΡΧΟΝΤΑΙ ΟΙ ΑΝΑ-
γνωσταὶ τοῦ χερουβικοῦ.

Σιγησάτω πᾶσα σὰρξ βροτεία, καὶ στήτω μετὰ φόβου καὶ τρόμου, καὶ μηδὲν γήϊνον ἐν ἑαυτῇ λογιζέσθω· ὁ γὰρ βασιλεὺς τῶν βασιλευόντων καὶ κύριος τῶν κυριευόντων, χριστὸς ὁ θεὸς ἡμῶν, προέρχεται σφαγιασθῆναι καὶ δοθῆναι εἰς βρῶσιν τοῖς πιστοῖς. προηγοῦνται δὲ τούτου οἱ χοροὶ τῶν ἀγγέλων μετὰ πάσης ἀρχῆς καὶ ἐξουσίας, τὰ πολυόμματα χερουβὶμ, καὶ τὰ ἑξαπτέρυγα σεραφὶμ, τὰς ὄψεις καλύπτοντα, καὶ βοῶντα τὸν ὕμνον· ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Ο ΙΕΡΕΥΣ ΕΙΣΑΓΩΝ ΤΑ ΑΓΙΑ
δῶρα, λέγει τὴν εὐχὴν ταύτην.

Ὁ Θεὸς ὁ θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον τὴν τροφὴν τοῦ παντὸς κόσμου, τὸν κύριον ἡμῶν Ἰησοῦν χριστὸν ἐξαποστείλας σωτῆρα καὶ λυτρωτὴν καὶ εὐεργέτην εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς, αὐτὸς εὐλόγησον τὴν πρόθεσιν ταύτην, καὶ πρόσδεξαι αὐτὴν εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον. μνημόνευσον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, τῶν προσε-

νεδηκότων, καὶ δι' οὗ προσήγαγον· καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θείων σου μυστηρίων, ὅπως ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο ΙΕΡΕΥΣ.

Εἰρήνη πᾶσιν.

Ο ΔΙΑΚΟΝΟΣ.

Κύριε εὐλόγησον.

Ο ΙΕΡΕΥΣ.

Εὐλογητὸς ὁ θεὸς ὁ εὐλογῶν καὶ ἁγιάζων πάντας ἡμᾶς ἐπὶ τῇ προθέσει τῶν θείων καὶ ἀχράντων μυστηρίων, καὶ τὰς μακαρίας ψυχὰς ἀναπαύων μετὰ ἁγίων καὶ δικαίων, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο ΔΙΑΚΟΝΟΣ.

Ἐν σοφίᾳ πρόσχωμεν.

ΑΡΧΕΤΑΙ Ο ΙΕΡΕΥΣ.

Πιστεύω εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς· καὶ εἰς ἕνα κύριον Ἰησοῦν χριστὸν τὸν υἱὸν τοῦ θεοῦ. καὶ τὰ ἑξῆς τοῦ συμβόλου τῆς πίστεως.

ΕΠΕΙΤΑ ΕΠΕΥΧΕΤΑΙ ΚΛΙΝΑΣ τὸν αὐχένα.

Ο πάντων θεὸς καὶ δεσπότης ἀξίους ἡμᾶς ἀπέργασαι τῆς ὥρας ταύτης τοὺς ἀναξίους φιλάνθρωπε· ἵνα καθαρεύοντες παντὸς δόλου καὶ πάσης ὑποκρίσεως, ἑνωθῶμεν ἀλλήλοις τῷ τῆς εἰρήνης καὶ τῆς ἀγάπης συνδέσμῳ, βεβαιούμενοι τῷ τῆς σῆς θεογνωσίας ἁγιασμῷ, διὰ τοῦ μονογενοῦς σου υἱοῦ, κυρίου δὲ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ο ΔΙΑΚΟΝΟΣ.

Στῶμεν καλῶς, στῶμεν εὐλαβῶς, στῶμεν μετὰ φόβου θεοῦ καὶ κατανύξεως. Ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν.

Ο ΙΕΡΕΥΣ.

Ὅτι θεὸς εἰρήνης, ἐλέους, ἀγάπης, οἰκτιρμῶν καὶ φιλανθρωπίας ὑπάρχεις σύ, καὶ ὁ μονογενής σου υἱός, καὶ τὸ πνεῦμά σου τὸ πανάγιον, νῦν καὶ ἀεί.

Ο ΛΑΟΣ. Ἀμήν.

Ο ΙΕΡΕΥΣ. Εἰρήνη πᾶσιν.

Ο ΛΑΟΣ.

Καὶ τῷ πνεύματί σου.

Ο ΔΙΑΚΟΝΟΣ.

Ἀγαπήσωμεν ἀλλήλους ἐν φιλήματι ἁγίῳ. Τὰς κεφαλὰς ἡμῶν τῷ κυρίῳ κλίνωμεν.

Ο ΙΕΡΕΥΣ ΕΠΙΚΛΙΝΟΜΕΝΟΣ
λέγει τὴν εὐχὴν ταύτην.

Ὁ μόνος κύριος καὶ ἐλεήμων θεός, τοῖς κλίνουσι τοὺς ἑαυτῶν αὐχένας ἐνώπιον τοῦ ἁγίου θυσιαστηρίου, καὶ ἐπιζητοῦσι τὰς παρὰ σοῦ πνευματικὰς δωρεάς, ἐξαπόστειλον τὴν χάριν σου τὴν ἀγαθήν, καὶ εὐλόγησον πάντας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ καὶ ἀναφαιρέτῳ, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν.

ΕΚΦΩΝΗΣΙΣ.

Ὅτι αἰνετὸν καὶ προσκυνητὸν καὶ ὑπερένδοξον ὑπάρχει τὸ πανάγιον ὄνομά σου, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο ΔΙΑΚΟΝΟΣ. Κύριε εὐλόγησον.

Ο ΙΕΡΕΥΣ.

Ὁ κύριος εὐλογήσει καὶ συνδιακονήσει πᾶσιν ἡμῖν τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ.

ΚΑΙ ΠΑΛΙΝ.

Ὁ κύριος εὐλογήσει, καὶ ἀξίους ποιήσει τῆς παραστάσεως τοῦ ἁγίου θυσιαστηρίου, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

ΚΑΙ ΠΑΛΙΝ.

Εὐλογητὸς ὁ θεὸς ὁ εὐλογῶν καὶ ἁγιάζων πάντας ἡμᾶς ἐπὶ τῇ παραστάσει καὶ ἱερουργίᾳ τῶν ἀχράντων αὐτοῦ μυστηρίων, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

Ο ΔΙΑΚΟΝΟΣ ΠΟΙΕΙ ΚΑθολικὴν συναπτήν.

Ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν.

Ο ΛΑΟΣ.

Κύριε ἐλέησον.

Ο ΔΙΑΚΟΝΟΣ.

Σῶσον, ἐλέησον, οἰκτείρησον καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι. ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ θεοῦ φιλανθρωπίας, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ κυρίου δεηθῶμεν. ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, καὶ ἑνώσεως πασῶν τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν, τοῦ κυρίου δεηθῶμεν. ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις, μεμνημένων τῶν πενήτων, χηρῶν καὶ ὀρφανῶν, ξένων καὶ ἐπιδεομένων, καὶ τῶν ἐντειλαμένων ἡμῖν ὥστε μνημονεύειν αὐτῶν ἐν ταῖς προσευχαῖς, τοῦ κυρίου δεηθῶμεν. ὑπὲρ τῶν ἐν γήρᾳ καὶ ἀδυναμίᾳ ὄντων, νοσούντων, καμνόντων, καὶ τῶν ὑπὸ πνευμάτων ἀκαθάρτων ἐνοχλουμένων, τῆς παρὰ τοῦ θεοῦ ταχείας ἰάσεως καὶ σωτηρίας αὐτῶν, τοῦ κυρίου δεηθῶμεν. ὑπὲρ τῶν ἐν παρθενίᾳ καὶ ἁγνείᾳ καὶ ἀσκήσει καὶ ἐν σεμνῷ γάμῳ διαγόντων, καὶ τῶν ἐν ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς ἀγωνιζομένων ὁσίων πατέρων τε καὶ ἀδελφῶν, τοῦ κυρίου δεηθῶμεν. ὑπὲρ πλεόντων, ὁδοιπορούντων, ξενιτευόντων χριστια-

νῶν, καὶ τῶν ἐν αἰχμαλωσίαις, καὶ ἐξορίαις, καὶ ἐν φυλακαῖς, καὶ πικραῖς δουλείαις ὄντων ἀδελφῶν ἡμῶν, εἰρηνικῆς ἐπανόδου αὐτῶν, τοῦ κυρίου δεηθῶμεν. ὑπὲρ ἀφέσεως ἁμαρτιῶν καὶ συγχωρήσεως πλημμελημάτων ἡμῶν, καὶ ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, καὶ ἐπαναστάσεως ἐχθρῶν, τοῦ κυρίου δεηθῶμεν. ὑπὲρ εὐκρασίας ἀέρων, ὄμβρων εἰρηνικῶν, δρόσων ἀγαθῶν, καρπῶν εὐφορίας, τελείας εὐετηρίας, καὶ ὑπὲρ τοῦ στεφάνου τοῦ ἐνιαυτοῦ, τοῦ κυρίου δεηθῶμεν.

ὑπὲρ τῶν παρόντων καὶ συνευχομένων ἡμῖν ἐν ταύτῃ τῇ ἁγίᾳ ὥρᾳ, καὶ ἐν παντὶ καιρῷ, πατέρων τε καὶ ἀδελφῶν ἡμῶν, σπουδῆς, καμάτου, καὶ προθυμίας αὐτῶν, τοῦ κυρίου δεηθῶμεν. καὶ ὑπὲρ πάσης ψυχῆς χριστιανῆς θλιβομένης καὶ καταπονουμένης, ἐλέους, καὶ βοηθείας θεοῦ ἐπιδεομένης, καὶ ἐπιστροφῆς τῶν πεπλανημένων, ὑγίας τῶν ἀσθενούντων, καὶ ἀναρρύσεως τῶν αἰχμαλώτων, ἀναπαύσεως τῶν προκεκοιμημένων, πατέρων τε καὶ ἀδελφῶν, τοῦ κυρίου δεηθῶμεν. ὑπὲρ τοῦ εἰσακουσθῆναι καὶ εὐπρόσδεκτον γενέσθαι τὴν δέησιν ἡμῶν ἐνώπιον τοῦ θεοῦ, καὶ τοῦ καταπεμφθῆναι ἡμῖν πλούσια τὰ ἐλέη καὶ τοὺς οἰκτιρμοὺς αὐτοῦ, τοῦ κυρίου δεηθῶμεν. Τῆς παναγίας, ἀχράντου, ὑπερενδόξου, εὐλογημένης δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων τῶν ἁγίων καὶ δικαίων μνημονεύσωμεν, ὅπως εὐχαῖς καὶ πρεσβείαις αὐτῶν οἱ πάντες ἐλεηθῶμεν. καὶ ὑπὲρ τῶν προκειμένων τιμίων, ἐπουρανίων, ἀρρήτων, ἀχράντων, ἐνδόξων, φοβερῶν, φρικτῶν, θείων δώρων, καὶ σωτηρίας τοῦ παρεστῶτος καὶ προσφέροντος αὐτὰ ἱερέως, κύριον τὸν θεὸν ἱκετεύσωμεν.

Ο ΛΑΟΣ.

Κύριε ἐλέησον. ἐκ τρίτου

ΕΙΤΑ

ΕΙΤΑ ΣΦΡΑΓΙΖΕΙ ΤΑ ΔΩΡΑ
ὁ ἱερεὺς, καὶ ἱστάμενος λέγει καθ᾽ ἑαυτὸν οὕτως.

Δόξα ἐν ὑψίστοις θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. ἐκ τρίτου.

Κύριε τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. ἐκ τρίτου.

Πληρωθήτω τὸ στόμα μου αἰνέσεώς σου κύριε, ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου. ἐκ τρίτου.

Τοῦ πατρὸς. Ἀμήν. Καὶ τοῦ υἱοῦ. Ἀμήν. Καὶ τοῦ ἁγίου πνεύματος. Ἀμήν. Νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΑΙ ΕΠΙΚΛΙΝΟΜΕΝΟΣ ΕΝ-
θεν καὶ ἔνθεν, λέγει.

Μεγαλύνατε τὸν κύριον σὺν ἐμοὶ, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό.

ΚΑΙ ΑΠΟΚΡΙΝΟΝΤΑΙ.

Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι.

ΕΙΤΑ Ο ΙΕΡΕΥΣ ΔΙΕΞΟΔΙΚΩΣ.

Ο ἐπισκεψάμενος ἡμᾶς ἐν ἐλέεσι καὶ οἰκτιρμοῖς δέσποτα κύριε, καὶ χαρισάμενος παῤῥησίαν ἡμῖν τοῖς ταπεινοῖς καὶ ἁμαρτωλοῖς καὶ ἀναξίοις δούλοις σου, παρεστάναι τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ προσφέρειν σοὶ τὴν φοβερὰν ταύτην καὶ ἀναίμακτον θυσίαν ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων, ἐπίβλεψον ἐπ᾽ ἐμὲ τὸν ἀχρεῖον δοῦλόν σου, καὶ ἐξάλειψόν τὰ παραπτώματα διὰ τὴν σὴν εὐσπλαγχνίαν· καὶ καθάρισόν μου τὰ χείλη καὶ τὴν καρδίαν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος· καὶ ἀπόστησον ἀπ᾽ ἐμοῦ πάντα λογισμὸν

αἰσχρόν τε καὶ ἀσύνετον· καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ παναγίου σου πνεύματος εἰς τὴν λειτουργίαν ταύτην. καὶ πρόσδεξαί με διὰ τὴν ἀγαθότητά σου, προσεγγίζοντα τῷ ἁγίῳ σου θυσιαστηρίῳ· καὶ εὐδόκησον κύριε δεκτὰ γενέσθαι τὰ προσαγόμενα ταῦτα δῶρα διὰ τῶν ἡμετέρων χειρῶν, συγκαταβαίνων ταῖς ἐμαῖς ἀσθενείαις, καὶ μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, μηδὲ βδελύξῃ τὴν ἐμὴν ἀναξιότητα· ἀλλ' ἐλέησόν με κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου παρένεγκε τὰ ἀνομήματά μου· ἵνα ἀκατακρίτως προσελθὼν κατενώπιον τῆς δόξης σου, καταξιωθῶ τῆς σκέπης τοῦ μονογενοῦς σου υἱοῦ, καὶ τῆς ἐλλάμψεως τοῦ παναγίου πνεύματος, καὶ μὴ ὡς δοῦλος ἁμαρτίας ἀποδόκιμος γένωμαι, ἀλλ' ὡς δοῦλος σὸς εὕρω χάριν καὶ ἔλεος καὶ ἄφεσιν ἁμαρτιῶν ἐνώπιόν σου, καὶ ἐν τῷ νῦν καὶ ἐν τῷ μέλλοντι αἰῶνι. ναὶ δέσποτα παντοκράτορ, παντοδύναμε κύριε, εἰσάκουσον τῆς δεήσεώς μου· σὺ γὰρ εἶ ὁ τὰ πάντα ἐνεργῶν ἐν πᾶσι, καὶ τὴν παρὰ σοῦ πάντες ἐπιζητοῦμεν ἐπὶ πᾶσι βοήθειάν τε καὶ ἀντίληψιν, καὶ τοῦ μονογενοῦς σου υἱοῦ, καὶ τοῦ ἀγαθοῦ καὶ ζωοποιοῦ καὶ ὁμοουσίου πνεύματος, νῦν καὶ εἰς τοὺς αἰῶνας.

Ο θεὸς ὁ διὰ πολλὴν καὶ ἄφατον φιλανθρωπίαν ἐξαποστείλας τὸν μονογενῆ σου υἱὸν εἰς τὸν κόσμον, ἵνα τὸ πεπλανημένον ἐπαναστρέψῃ πρόβατον, μὴ ἀποστραφῇς ἡμᾶς τοὺς ἁμαρτωλοὺς ἐγχειροῦντάς σου τῇ φοβερᾷ ταύτῃ καὶ ἀναιμάκτῳ θυσίᾳ· οὐ γὰρ ἐπὶ ταῖς δικαιοσύναις ἡμῶν πεποιθότες ἐσμέν, ἀλλ' ἐπὶ τῷ ἐλέει σου τῷ ἀγαθῷ, δι' οὗ τὸ γένος ἡμῶν περιποιῇ. ἱκετεύομεν καὶ παρακαλοῦμεν τὴν σὴν ἀγαθότητα, ἵνα μὴ γένηται εἰς κατάκριμα τῷ λαῷ σου τὸ οἰκονομηθὲν ἡμῖν τοῦτο πρὸς σωτηρίαν μυστήριον, ἀλλ' εἰς ἐξάλειψιν ἁμαρτιῶν, εἰς ἀνανέωσιν ψυχῶν καὶ σω-

μάτων

μάτων, εἰς εὐαρέστησίν σου τοῦ θεοῦ καὶ πατρὸς, ἐν ἐλέει καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

Κύριε ὁ θεὸς ὁ κτίσας ἡμᾶς καὶ ἀγαγὼν εἰς τὴν ζωὴν ταύτην, ὁ ὑποδείξας ἡμῖν ὁδοὺς εἰς σωτηρίαν, ὁ χαρισάμενος ἡμῖν οὐρανίων μυστηρίων ἀποκάλυψιν, καὶ θέμενος ἡμᾶς εἰς τὴν διακονίαν ταύτην ἐν τῇ δυνάμει τοῦ παναγίου σου πνεύματος, εὐδόκησον δέσποτα γενέσθαι ἡμᾶς διακόνους τῆς καινῆς σου διαθήκης, λειτουργοὺς τῶν ἀχράντων σου μυστηρίων καὶ πρόσδεξαι ἡμᾶς προσεγγίζοντας τῷ ἁγίῳ σου θυσιαστηρίῳ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου· ἵνα ἄξιοι γενώμεθα τοῦ προσφέρειν σοι δῶρά τε καὶ θυσίας ὑπέρ τε ἑαυτῶν καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. καὶ δὸς ἡμῖν κύριε μετὰ παντὸς φόβου καὶ συνειδήσεως καθαρᾶς προσκομίσαι σοι τὴν πνευματικὴν ταύτην καὶ ἀναίμακτον θυσίαν, ἣν προσδεξάμενος εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερόν σου θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ παναγίου σου πνεύματος. ναὶ ὁ θεὸς ἐπίβλεψον ἐφ' ἡμᾶς, καὶ ἔπιδε ἐπὶ τὴν λογικὴν λατρείαν ἡμῶν ταύτην, καὶ πρόσδεξαι αὐτὴν ὡς προσεδέξω Ἄβελ τὰ δῶρα, Νῶε τὰς θυσίας, Μωσέως καὶ Ἀαρὼν τὰς ἱερωσύνας, Σαμουὴλ τὰς εἰρηνικάς, Δαβὶδ τὴν μετάνοιαν, Ζαχαρίου τὸ θυμίαμα· ὡς προσεδέξω ἐκ χειρὸς τῶν ἀποστόλων σου τὴν ἀληθινὴν ταύτην λατρείαν· οὕτω πρόσδεξαι καὶ ἐκ χειρῶν ἡμῶν τῶν ἁμαρτωλῶν τὰ προκείμενα δῶρα ταῦτα ἐν τῇ χρηστότητί σου· καὶ δὸς γενέσθαι τὴν προσφορὰν ἡμῶν εὐπρόσδεκτον, ἡγιασμένην ἐν πνεύματι ἁγίῳ, εἰς ἐξίλασμα τῶν ἡμετέρων πλημμελημάτων καὶ τῶν τοῦ λαοῦ

ἀγνοημάτων, καὶ εἰς ἀνάπαυσιν τῶν προκεκοιμημένων ψυχῶν· ἵνα καὶ ἡμεῖς οἱ ταπεινοὶ καὶ ἁμαρτωλοὶ καὶ ἀνάξιοι δοῦλοί σου, καταξιωθέντες ἀδόλως λειτουργεῖν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, λάβωμεν τὸν μισθὸν τῶν πιστῶν καὶ φρονίμων οἰκονόμων, καὶ εὕρωμεν χάριν καὶ ἔλεος ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ τῆς ἀνταποδόσεώς σου τῆς δικαίας καὶ ἀγαθῆς.

ΕΥΧΗ ΤΟΥ ΚΑΤΑΠΕΤΑΣΜΑΤΟΣ.

Εὐχαριστοῦμέν σοι κύριε ὁ θεὸς ἡμῶν, ὅτι ἔδωκας ἡμῖν παῤῥησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων σου· ἣν ἀνεκαίνισας ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν διὰ τοῦ καταπετάσματος τῆς σαρκὸς τοῦ χριστοῦ σου. καταξιωθέντες οὖν εἰσελθεῖν εἰς τόπον σκηνώματος δόξης σου, ἔσω τε γενέσθαι τοῦ καταπετάσματος, καὶ τὰ ἅγια τῶν ἁγίων κατιδοῦσαι, προσπίπτομεν τῇ σῇ ἀγαθότητι· δέσποτα ἐλέησαι ἡμᾶς· ἐπειδὴ ἔμφοβοι καὶ ἔντρομοί ἐσμεν, μέλλοντες παρεστάναι τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ προσφέρειν τὴν φοβερὰν ταύτην καὶ ἀναίμακτον θυσίαν ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· ἐξαπόστειλον ὁ θεὸς τὴν χάριν σου τὴν ἀγαθὴν, καὶ ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα καὶ τὰ πνεύματα, καὶ ἀλλοίωσον ἡμῶν τὰ φρονήματα πρὸς εὐσέβειαν· ἵνα ἐν καθαρῷ συνειδότι προσφέρωμέν σοι ἔλαιον εἰρήνης, θυσίαν αἰνέσεως.

ΕΚΦΩΝΗΣΙΣ.

Ἐλέει καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεί.

Ο ΛΑΟΣ.

Ἀμήν.

Ο ΙΕΡΕΥΣ.

Εἰρήνη πᾶσιν.

Ο ΔΙΑΚΟΝΟΣ.

Στῶμεν καλῶς, στῶμεν εὐλαβῶς, στῶμεν μετὰ φόβου θεοῦ καὶ κατανύξεως· προσέχωμεν τῇ ἁγίᾳ ἀναφορᾷ, εἰρήνην τῷ θεῷ προσφέρειν.

Ο ΛΑΟΣ.

Ἔλαιον εἰρήνης, θυσίαν αἰνέσεως.

Ο ΙΕΡΕΥΣ.

Καὶ τὰ περικείμενα τῇ ἱερᾷ ταύτῃ τελετῇ συμβολικῶς ἀμφιάσματα τῶν αἰνιγμάτων ἀνακαλύψας, τηλαυγῶς ἡμῖν ἀνάδειξον· καὶ τὰς νοερὰς ἡμῶν ὄψεις τοῦ ἀπεριλήπτου φωτὸς πλήρωσον· καὶ καθάρας τὴν πτωχείαν ἡμῶν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἀξίαν ἀπέργασαι τῆς φοβερᾶς ταύτης καὶ φρικτῆς παραστάσεως· ὅτι ὑπερεύσπλαγχνος καὶ ἐλεήμων θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν καὶ τὴν εὐχαριστίαν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

ΕΙΤΑ ΕΚΦΩΝΕΙ.

Ἡ ἀγάπη τοῦ κυρίου καὶ πατρὸς, ἡ χάρις τοῦ κυρίου καὶ θεοῦ, καὶ ἡ κοινωνία καὶ ἡ δωρεὰ τοῦ ἁγίου πνεύματος εἴη μετὰ πάντων ἡμῶν.

Ο ΛΑΟΣ.

Καὶ μετὰ τοῦ πνεύματός σου.

Ο ΙΕΡΕΥΣ.

Ἄνω σχῶμεν τὸν νοῦν καὶ τὰς καρδίας.

Ο ΛΑΟΣ.

Ἄξιον καὶ δίκαιον.

ΕΙΤΑ ΕΠΕΥΧΕΤΑΙ Ο ΙΕΡΕΥΣ.

Ὡς ἀληθῶς ἄξιόν ἐστι καὶ δίκαιον, πρέπον τε καὶ ὀφειλό-

μενον, σὲ αἰνεῖν, σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ προσκυνεῖν, σὲ δοξολογεῖν, σοὶ εὐχαριστεῖν τῷ πάσης κτίσεως ὁρατῆς τε καὶ ἀοράτου δημιουργῷ, τῷ θησαυρῷ τῶν αἰωνίων ἀγαθῶν, τῇ πηγῇ τῆς ζωῆς καὶ τῆς ἀθανασίας, τῷ πάντων θεῷ καὶ δεσπότῃ· ὃν ὑμνοῦσιν οἱ οὐρανοὶ καὶ οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ πᾶσα ἡ δύναμις αὐτῶν· ἥλιός τε καὶ σελήνη, καὶ πᾶς ὁ τῶν ἄστρων χορός· γῆ, θάλασσα, καὶ πάντα τὰ ἐν αὐτοῖς· Ἱερουσαλὴμ ἡ ἐπουράνιος πανήγυρις, ἐκκλησία πρωτοτόκων ἀπογεγραμμένων ἐν τοῖς οὐρανοῖς· πνεύματα δικαίων καὶ προφητῶν· ψυχαὶ μαρτύρων καὶ ἀποστόλων· ἄγγελοι, ἀρχάγγελοι, θρόνοι, κυριότητες, ἀρχαί τε καὶ ἐξουσίαι καὶ δυνάμεις φοβεραί, καὶ τὰ χερουβὶμ πολυόμματα καὶ τὰ ἑξαπτέρυγα σεραφίμ, ἃ ταῖς μὲν δυσὶ πτέρυξι κατακαλύπτει τὰ πρόσωπα ἑαυτῶν, ταῖς δὲ δυσὶ τοὺς πόδας, καὶ ταῖς δυσὶν ἱπτάμενα, κέκραγεν ἕτερον πρὸς ἕτερον ἀκαταπαύστοις στόμασιν, ἀσιγήτοις δοξολογίαις.

ΕΚΦΩΝΗΣΙΣ.

Τὸν ἐπινίκιον ὕμνον τῆς μεγαλοπρεποῦς σου δόξης λαμπρᾷ τῇ φωνῇ ᾄδοντα, βοῶντα, δοξολογοῦντα, κεκραγότα καὶ λέγοντα.

Ο ΛΑΟΣ.

Ἅγιος, ἅγιος, ἅγιος, κύριε σαβαώθ. πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου, ὡσαννὰ ὁ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, ὡσαννὰ ὁ ἐν τοῖς ὑψίστοις.

Ο ΙΕΡΕΥΣ ΣΦΡΑΓΙΖΩΝ ΤΑ δῶρα λέγει.

Ἅγιος εἶ βασιλεῦ τῶν αἰώνων καὶ πάσης ἁγιωσύνης κύριος καὶ δοτήρ· ἅγιος καὶ ὁ μονογενής σου υἱός, ὁ κύριος ἡμῶν Ἰησοῦς χριστός, δι' οὗ τὰ πάντα ἐποίησας· ἅγιον δὲ καὶ τὸ

πνεῦ

πνεῦμά σου τὸ ἅγιον τὸ ἐρευνῶν τὰ πάντα, καὶ τὰ βάθη σου τοῦ θεοῦ. ἅγιος εἶ παντοκράτορ, παντοδύναμε, ἀγαθὲ, φοβερὲ, εὔσπλαγχνε, ὁ συμπαθὴς μάλιστα περὶ τὸ πλάσμα τὸ σόν· ὁ ποιήσας ἀπὸ γῆς ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν· ὁ χαρισάμενος αὐτῷ τὴν τοῦ παραδείσου ἀπόλαυσιν· παραβάντα δὲ τὴν ἐντολήν σου, καὶ ἐκπεσόντα, τοῦτον οὐ παρεῖδες, οὐδὲ ἐγκατέλιπες ἀγαθὲ, ἀλλ' ἐπαίδευσας αὐτὸν ὡς εὔσπλαγχνος πατὴρ, ἐκάλεσας αὐτὸν διὰ νόμου, ἐπαιδαγώγησας αὐτὸν διὰ τῶν προφητῶν· ὕστερον δὲ αὐτὸν τὸν μονογενῆ σου υἱὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐξαπέστειλας εἰς τὸν κόσμον, ἵνα ἐλθὼν, τὴν σὴν ἀνανεώσῃ καὶ ἀνεγείρῃ εἰκόνα· ὃς κατελθὼν ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθεὶς ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου καὶ θεοτόκου· συναναστραφείς τε τοῖς ἀνθρώποις, πάντα ᾠκονόμησε πρὸς σωτηρίαν τοῦ γένους ἡμῶν· μέλλων δὲ τὸν ἑκούσιον καὶ ζωοποιὸν διὰ σταυροῦ θάνατον ὁ ἀναμάρτητος ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν καταδέχεσθαι, ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο, μᾶλλον δὲ ἑαυτὸν παρεδίδου, ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας.

ΕΙΤΑ Ο ΙΕΡΕΥΣ ΤΗ ΧΕΙΡΙ τὸν ἄρτον κατασχὼν, λέγει.

Λαβὼν τὸν ἄρτον ἐπὶ τῶν ἁγίων καὶ ἀχράντων καὶ ἀμώμων καὶ ἀθανάτων αὐτοῦ χειρῶν, ἀναβλέψας εἰς τὸν οὐρανὸν, καὶ ἀναδείξας σοὶ τῷ θεῷ καὶ πατρὶ, εὐχαριστήσας, ἁγιάσας, κλάσας, ἔδωκεν ἡμῖν τοῖς αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις εἰπών·

ΛΕΓΟΥΣΙΝ ΟΙ ΔΙΑΚΟΝΟΙ.

Εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

ΕΙΤΑ ΕΚΦΩΝΕΙ.

Λάβετε, φάγετε· τοῦτό μου ἐστὶ τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώ-

μενον καὶ διδόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ο ΛΑΟΣ.

Ἀμήν.

ΕΙΤΑ ΛΑΜΒΑΝΕΙ ΤΟ ΠΟΤΗ-
ριον, καὶ λέγει.

Ὡσαύτως μετὰ τὸ δειπνῆσαι, λαβὼν τὸ ποτήριον, καὶ κεράσας ἐξ οἴνου καὶ ὕδατος, καὶ ἀναβλέψας εἰς τὸν οὐρανὸν, καὶ ἀναδείξας σοὶ τῷ θεῷ καὶ πατρὶ, εὐχαριστήσας, ἁγιάσας, εὐλογήσας, πλήσας πνεύματος ἁγίου, ἔδωκεν ἡμῖν τοῖς αὐτοῦ μαθηταῖς εἰπὼν, πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό μου ἐστὶ τὸ αἷμα τὸ τῆς καινῆς διαθήκης τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχεόμενον καὶ διαδιδόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ο ΛΑΟΣ.

Ἀμήν.

Ο ΙΕΡΕΥΣ.

Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ υἱοῦ τοῦ ἀνθρώπου καταγγέλλετε, καὶ τὴν ἀνάστασιν αὐτοῦ ὁμολογεῖτε, ἄχρις οὗ ἔλθῃ.

ΛΕΓΟΥΣΙΝ ΟΙ ΔΙΑΚΟΝΟΙ.

Πιστεύομεν καὶ ὁμολογοῦμεν.

Ο ΛΑΟΣ.

Τὸν θάνατόν σου κύριε καταγγέλλομεν καὶ τὴν ἀνάστασίν σου ὁμολογοῦμεν.

Ο ΙΕΡΕΥΣ.

Μεμνημένοι οὖν καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ τῶν ζωοποιῶν αὐτοῦ παθημάτων, τοῦ σωτηρίου σταυροῦ, καὶ τοῦ θανάτου, καὶ τῆς ταφῆς, καὶ τῆς τριημέρου ἐκ νεκρῶν ἀναστάσεως, καὶ τῆς εἰς οὐρανοὺς ἀνόδου, καὶ τῆς ἐκ δεξιῶν σου τοῦ θεοῦ καὶ

πατρὸς

πατρὸς καθέδρας, καὶ τῆς δευτέρας ἐνδόξου καὶ φοβερᾶς αὐτοῦ παρουσίας, ὅταν ἔλθῃ μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, ὅταν μέλλῃ ἀποδιδόναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, προσφέρομέν σοι δέσποτα τὴν φοβερὰν ταύτην καὶ ἀναίμακτον θυσίαν, δεόμενοι ἵνα μὴ κατὰ τὰς ἁμαρτίας ἡμῶν ποιήσῃς μεθ' ἡμῶν, μηδὲ κατὰ τὰς ἀνομίας ἡμῶν ἀνταποδώσῃς ἡμῖν· ἀλλὰ κατὰ τὴν σὴν ἐπιείκειαν καὶ ἄφατόν σου φιλανθρωπίαν, ὑπερβὰς καὶ ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον τῶν σῶν ἱκετῶν, χαρίσῃ ἡμῖν τὰ ἐπουράνια καὶ αἰώνιά σου δωρήματα, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασας ὁ θεὸς τοῖς ἀγαπῶσί σε, καὶ μὴ δι' ἐμὲ καὶ διὰ τὰς ἐμὰς ἁμαρτίας ἀθετήσῃς τὸν λαὸν φιλάνθρωπε κύριε.

ΕΙΤΑ ΛΕΓΕΙ ΕΚ ΤΡΙΤΟΥ.

Ὁ γὰρ λαός σου καὶ ἡ ἐκκλησία σου ἱκετεύουσί σε.

Ο ΛΑΟΣ.

Ἐλέησον ἡμᾶς κύριε ὁ θεός, ὁ πατὴρ ὁ παντοκράτωρ.

ΠΑΛΙΝ ΛΕΓΕΙ Ο ΙΕΡΕΥΣ.

Ἐλέησον ἡμᾶς ὁ θεὸς ὁ παντοκράτωρ· ἐλέησον ἡμᾶς ὁ θεὸς ὁ σωτὴρ ἡμῶν· ἐλέησον ἡμᾶς ὁ θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ ἐξαπόστειλον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα, τὸ πνεῦμά σου τὸ πανάγιον.

ΕΙΤΑ ΚΛΙΝΑΣ ΤΟΝ ΑΥΧΕΝΑ, λέγει.

Τὸ κύριον καὶ ζωοποιόν, τὸ σύνθρονον σοὶ τῷ θεῷ καὶ πατρί, καὶ τῷ μονογενεῖ σου υἱῷ, τὸ συμβασιλεῦον, τὸ ὁμοούσιόν τε καὶ συναΐδιον· τὸ λαλῆσαν ἐν νόμῳ καὶ προφήταις, καὶ τῇ καινῇ σου διαθήκῃ· τὸ καταβὰν ἐν εἴδει περιστερᾶς ἐπὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν τῷ Ἰορδάνῃ ποταμῷ καὶ μεῖναν ἐπ' αὐτόν· τὸ καταβὰν ἐπὶ τοὺς ἀποστόλους σου ἐν εἴδει πυρίνων γλωσσῶν ἐν τῷ ὑπερῴῳ τῆς

ἁγίας καὶ ἐνδόξου Σιών, ἐν τῇ ἡμέρᾳ τῆς πεντηκοστῆς· αὐτὸ τὸ πνεῦμά σου τὸ πανάγιον κατάπεμψον δέσποτα ἐφ᾽ ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα ἅγια δῶρα ταῦτα.

ΚΑΙ ΑΝΙΣΤΑΜΕΝΟΣ ΕΚΦΩΝΕΙ.

Ἵνα ἐπιφοιτῆσαν τῇ ἁγίᾳ καὶ ἀγαθῇ καὶ ἐνδόξῳ αὐτοῦ παρουσίᾳ ἁγιάσῃ καὶ ποιήσῃ, τὸν μὲν ἄρτον τοῦτον, σῶμα ἅγιον τοῦ χριστοῦ σου·

Ο ΛΑΟΣ.

Ἀμήν.

Ο ΙΕΡΕΥΣ.

Καὶ τὸ ποτήριον τοῦτο, αἷμα τίμιον τοῦ χριστοῦ σου.

Ο ΛΑΟΣ.

Ἀμήν.

Ο ΙΕΡΕΥΣ ΚΑΘ᾽ ΕΑΥΤΟΝ, ἱστάμενος.

Ἵνα γένηται πᾶσι τοῖς ἐξ αὐτῶν μεταλαμβάνουσιν εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον, εἰς ἁγιασμὸν ψυχῶν καὶ σωμάτων, εἰς καρποφορίαν ἔργων ἀγαθῶν, εἰς στηριγμὸν τῆς ἁγίας σου καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, ἣν ἐθεμελίωσας ἐπὶ τὴν πέτραν τῆς πίστεως, ἵνα πύλαι ᾅδου μὴ κατισχύσωσιν αὐτῆς, ῥυόμενος αὐτὴν ἀπὸ πάσης αἱρέσεως καὶ σκανδάλων καὶ τῶν ἐργαζομένων τὴν ἀνομίαν, διαφυλάττων αὐτὴν μέχρι τῆς συντελείας τοῦ αἰῶνος.

ΚΑΙ ΕΠΙΚΛΙΘΕΙΣ ΛΕΓΕΙ.

Προσφέρομέν σοι δέσποτα καὶ ὑπὲρ τῶν ἁγίων σου τόπων, οὓς ἐδόξασας τῇ θεοφανείᾳ τοῦ χριστοῦ σου, καὶ τῇ ἐπιφοιτήσει τοῦ παναγίου σου πνεύματος· προηγουμένως, ὑπὲρ τῆς ἐνδόξου Σιὼν τῆς μητρὸς πασῶν τῶν ἐκκλησιῶν· καὶ ὑπὲρ τῆς κατὰ πᾶσαν τὴν οἰκουμένην ἁγίας σου καθολικῆς καὶ ἀποστολικῆς

ἐκ-

ἐκκλησίας, πλουσίας καὶ νῦν τὰς δωρεὰς τοῦ παναγίου σου πνεύματος, ἐπιχορήγησον αὐτῇ δέσποτα. μνήσθητι κύριε καὶ τῶν ἐν αὐτῇ ἁγίων πατέρων, καὶ ἀδελφῶν ἡμῶν, καὶ ἐπισκόπων τῶν ἐν πάσῃ τῇ οἰκουμένῃ ὀρθοδόξως ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας. Μνήσθητι κύριε καὶ πάσης πόλεως καὶ χώρας καὶ τῶν ὀρθοδόξως πίστει οἰκούντων ἐν αὐταῖς εἰρήνης καὶ ἀσφαλείας αὐτῶν. Μνήσθητι κύριε πλεόντων, ὁδοιπορούντων, ξενιτευόντων χριστιανῶν, τῶν ἐν δεσμοῖς, τῶν ἐν φυλακαῖς, τῶν ἐν αἰχμαλωσίαις καὶ ἐξορίαις, τῶν ἐν μετάλλοις καὶ βασάνοις, καὶ πικραῖς δουλείαις ὄντων πατέρων καὶ ἀδελφῶν ἡμῶν.

Μνήσθητι κύριε τῶν νοσούντων, καὶ καμνόντων, καὶ τῶν ὑπὸ πνευμάτων ἀκαθάρτων ἐνοχλουμένων, τῆς παρὰ σοῦ τοῦ θεοῦ ταχείας ἰάσεως αὐτῶν καὶ σωτηρίας. Μνήσθητι κύριε πάσης ψυχῆς χριστιανῆς θλιβομένης καὶ καταπονουμένης, ἐλέους καὶ βοηθείας σοῦ τοῦ θεοῦ ἐπιδεομένης, καὶ ἐπιστροφῆς τῶν πεπλανημένων. Μνήσθητι κύριε τῶν κοπιώντων καὶ διακονούντων ἡμῖν πατέρων καὶ ἀδελφῶν ἡμῶν διὰ τὸ ὄνομά σου τὸ ἅγιον. Μνήσθητι κύριε πάντων εἰς ἀγαθόν· πάντας ἐλέησον δέσποτα· πᾶσιν ἡμῖν διαλλάγηθι· εἰρήνευσον τὰ πλήθη τοῦ λαοῦ σου· διασκέδασον τὰ σκάνδαλα· κατάργησον τοὺς πολέμους· παῦσον τὰς τῶν αἱρέσεων ἐπαναστάσεις· τὴν σὴν εἰρήνην καὶ τὴν σὴν ἀγάπην χάρισαι ἡμῖν, ὁ θεὸς ὁ σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς. Μνήσθητι κύριε εὐκρασίας ἀέρων, ὄμβρων εἰρηνικῶν, δρόσων ἀγαθῶν, καρπῶν εὐφορίας, καὶ τοῦ στεφάνου τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου· οἱ γὰρ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ· ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας. Μνήσθητι

κύριε τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ἐκκλησίαις· καὶ μεμνημένων τῶν πενήτων, χηρῶν, ὀρφανῶν, ξένων, καὶ ἐπιδεομένων· καὶ πάντων τῶν ἐντειλαμένων ἡμῖν τοῦ μνημονεύειν αὐτῶν ἐν ταῖς προσευχαῖς. ἔτι μνησθῆναι καταξίωσον κύριε καὶ τῶν τὰς προσφορὰς ταύτας προσενεγκάντων ἐν τῇ σήμερον ἡμέρα ἐπὶ τὸ ἅγιόν σου θυσιαστήριον, καὶ ὑπὲρ ὧν ἕκαστος προσήνεγκεν, ἢ κατὰ διάνοιαν ἔχει, καὶ τῶν ἀρτίως σοι ἀνεγνωσμένων. μνήσθητι κύριε κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου καὶ τῶν οἰκτιρμῶν σου, καὶ ἐμοῦ τοῦ ταπεινοῦ καὶ ἀχρείου δούλου σου, καὶ τῶν τὸ ἅγιόν σου θυσιαστήριον κυκλούντων διακόνων· καὶ χάρισαι αὐτοῖς βίον ἄμεμπτον, ἄσπιλον αὐτῶν τὴν διακονίαν φύλαξον, καὶ βαθμοὺς ἀγαθοὺς περιποίησαι, ἵνα εὕρωμεν ἔλεον καὶ χάριν μετὰ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων κατὰ γενεὰν καὶ γενεὰν, προπατόρων, πατέρων, πατριαρχῶν, προφητῶν, ἀποστόλων, μαρτύρων, ὁμολογητῶν, διδασκάλων, ὁσίων, καὶ παντὸς πνεύματος δικαίου ἐν πίστει τοῦ χριστοῦ σου τετελειωμένου.

Χαῖρε κεχαριτωμένη Μαρία· ὁ κύριος μετὰ σοῦ· εὐλογημένη σὺ ἐν γυναιξὶ, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου, ὅτι σωτῆρα ἔτεκες τῶν ψυχῶν ἡμῶν.

ΕΙΤΑ ΕΚΦΩΝΕΙ Ο ΙΕΡΕΥΣ.

Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

ΟΙ ΨΑΛΤΑΙ.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν σε τὴν θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ μητέρα τοῦ θεοῦ ἡμῶν, τὴν τιμιωτέραν τῶν χερουβὶμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν σεραφὶμ, τὴν ἀδιαφθόρως θεὸν λόγον

τεκοῦ-

τεκοῦσαν, τὴν ὄντως θεοτόκον σὲ μεγαλύνομεν.

ΚΑΙ ΠΑΛΙΝ ΨΑΛΛΟΥΣΙΝ.

Ἐπὶ σοὶ χαίρει κεχαριτωμένη πᾶσα ἡ κτίσις, ἀγγέλων τὸ σύστημα καὶ ἀνθρώπων τὸ γένος, ἡγιασμένε ναὲ, καὶ παράδεισε λογικὲ, παρθενικὸν καύχημα, ἐξ ἧς θεὸς ἐσαρκώθη, καὶ παιδίον γέγονεν ὁ πρὸ αἰώνων ὑπάρχων θεὸς ἡμῶν· τὴν γὰρ σὴν μήτραν θρόνον ἐποίησε, καὶ τὴν σὴν γαστέρα πλατυτέραν οὐρανῶν ἀπειργάσατο. ἐπὶ σοὶ χαίρει κεχαριτωμένη, πᾶσα ἡ κτίσις· δόξα σοι.

ΟΙ ΔΙΑΚΟΝΟΙ.

Μνήσθητι κύριε ὁ θεὸς ἡμῶν.

Ο ΙΕΡΕΥΣ ΕΠΙΚΛΙΝΟΜΕ-νος λέγει.

Μνήσθητι κύριε ὁ θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκὸς, ὧν ἐμνήσθημεν καὶ ὧν οὐκ ἐμνήσθημεν, ὀρθοδόξων, ἀπὸ Ἄβελ τοῦ δικαίου μέχρι τῆς σήμερον ἡμέρας· αὐτὸς ἐκεῖ αὐτοὺς ἀνάπαυσον, ἐν χώρᾳ ζώντων, ἐν τῇ βασιλείᾳ σου, ἐν τῇ τρυφῇ τοῦ παραδείσου, ἐν τοῖς κόλποις Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, τῶν ἁγίων πατέρων ἡμῶν· ὅθεν ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμός· ἔνθα ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου, καὶ καταλάμπει διὰ παντός. ἡμῶν δὲ τὰ τέλη τῆς ζωῆς, χριστιανὰ καὶ εὐάρεστα, καὶ ἀναμάρτητα, ἐν εἰρήνῃ κατεύθυνον κύριε κύριε, ἐπισυνάγων ἡμᾶς ὑπὸ τοὺς πόδας τῶν ἐκλεκτῶν σου, ὅτε θέλεις καὶ ὡς θέλεις· μόνον, χωρὶς αἰσχύνης καὶ παραπτωμάτων, διὰ τοῦ μονογενοῦς σου υἱοῦ, κυρίου δὲ καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ· αὐτὸς γάρ ἐστιν ὁ μόνος ἀναμάρτητος φανεὶς ἐπὶ τῆς γῆς.

Ο ΔΙΑΚΟΝΟΣ.

Καὶ ὑπὲρ εἰρήνης καὶ εὐσταθείας παντὸς κόσμου, καὶ τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν, καὶ ὑπὲρ ὧν ἕκαστος προσήνεγκεν, ἢ κατὰ

διάνοιαν ἔχει· καὶ τοῦ περιεστῶτος λαοῦ, καὶ πάντων καὶ πασῶν.

Ο ΛΑΟΣ.

Καὶ πάντων καὶ πασῶν.

Ο ΙΕΡΕΥΣ ΕΚΦΩΝΕΙ.

Δι' ὧν καὶ ἡμῖν καὶ αὐτοῖς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος,

Ο ΛΑΟΣ.

Ἄνες, ἄφες, συγχώρησον ὁ θεὸς τὰ παραπτώματα ἡμῶν, τὰ ἑκούσια, τὰ ἀκούσια· τὰ ἐν ἔργῳ, καὶ λόγῳ· τὰ ἐν γνώσει, καὶ ἀγνοίᾳ· τὰ ἐν νυκτί, καὶ ἐν ἡμέρᾳ· τὰ κατὰ νοῦν, καὶ διάνοιαν· τὰ πάντα ἡμῖν συγχώρησον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ο ΙΕΡΕΥΣ.

Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ καὶ δεδοξασμένος, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

Ο ΛΑΟΣ.

Ἀμήν.

Ο ΙΕΡΕΥΣ.

Εἰρήνη πᾶσιν.

Ο ΛΑΟΣ.

Καὶ τῷ πνεύματί σου.

Ο ΔΙΑΚΟΝΟΣ.

Ἔτι καὶ ἔτι διὰ παντὸς ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων τιμίων, ἐπουρανίων, ἀρρήτων, ἀχράντων, ἐνδόξων, φοβερῶν, φρικτῶν, θείων δώρων κυρίῳ τῷ θεῷ, δεηθῶμεν. Ὅπως κύριος ὁ θεὸς ἡμῶν ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον, νοερὸν καὶ πνευματικὸν αὐτοῦ θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν

τὴν

τὴν θείαν χάριν καὶ τὴν δωρεὰν τοῦ παναγίου πνεύματος, δεηθῶμεν. τὴν ἑνότητα τῆς πίστεως, καὶ τὴν κοινωνίαν τοῦ παναγίου αὐτοῦ καὶ προσκυνητοῦ πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν χριστῷ τῷ θεῷ παραθώμεθα.

Ο ΛΑΟΣ. Ἀμήν.

Ο ΙΕΡΕΥΣ ΕΠΕΥΧΕΤΑΙ.

Ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ, ὁ μεγαλώνυμος κύριος, ἡ μακαρία φύσις, ἡ ἄφθονος ἀγαθότης, ὁ πάντων θεὸς καὶ δεσπότης, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ, καὶ δοξαζόμενος ὑπὸ τῶν σεραφὶμ, ᾧ παρεστήκασι χίλιαι χιλιάδες καὶ μύριαι μυριάδες ἁγίων ἀγγέλων καὶ ἀρχαγγέλων στρατιαί, τὰ μὲν προσενεχθέντα σοι δῶρα, δόματα, καρπώματα, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, προσδέξω, καὶ ἁγιάσαι καὶ τελειῶσαι κατηξίωσας ἀγαθὲ, τῇ χάριτι τοῦ χριστοῦ σου καὶ τῇ ἐπιφοιτήσει τοῦ παναγίου σου πνεύματος· ἁγίασον δέσποτα καὶ τὰς ἡμετέρας ψυχὰς καὶ σώματα καὶ τὰ πνεύματα, καὶ ψηλάφησον τὰς διανοίας, καὶ ἀνάκρινον τὰς συνειδήσεις, καὶ ἔκβαλον ἀφ' ἡμῶν πᾶσαν ἔννοιαν πονηρὰν, πάντα λογισμὸν ἀσελγῆ, πᾶσαν ἐπιθυμίαν αἰσχρὰν, πάντα λογισμὸν ἀπρεπῆ, πάντα φθόνον καὶ τῦφον, καὶ ὑπόκρισιν· πᾶν ψεῦδος, πάντα δόλον, πάντα περισπασμὸν βιωτικὸν, πᾶσαν πλεονεξίαν, πᾶσαν κενοδοξίαν, πᾶσαν ῥαθυμίαν, πᾶσαν κακίαν, πάντα θυμὸν, πᾶσαν ὀργὴν, πᾶσαν μνησικακίαν, πᾶσαν βλασφημίαν, πᾶσαν κίνησιν σαρκός τε καὶ πνεύματος ἀπηλλοτριωμένην τοῦ θελήματος τῆς ἁγιότητός σου.

ΕΚΦΩΝΗΣΙΣ.

Καὶ καταξίωσον ἡμᾶς δέσποτα φιλάνθρωπε μετὰ παῤ-

ῥησίας ἀκατακρίτως, ἐν καθαρᾷ καρδίᾳ, ψυχῇ σῦντετριμμένῃ, ἀνεπαισχύντῳ προσώπῳ, ἡγιασμένοις χείλεσι, τολμᾶν ἐπικαλεῖσθαί σε τὸν ἐν τοῖς οὐρανοῖς ἅγιον θεὸν πατέρα, καὶ λέγειν.

Ο ΛΑΟΣ.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου. καὶ τὰ ἑξῆς.

Ο ΙΕΡΕΥΣ ΕΠΙΚΛΙΝΟΜΕΝΟΣ ΛΕΓΕΙ.

Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν κύριε κύριε τῶν δυνάμεων, ὁ εἰδὼς τὴν ἀσθένειαν ἡμῶν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ καὶ τῶν ἔργων αὐτοῦ, καὶ πάσης ἐπηρείας καὶ μεθοδείας αὐτοῦ, διὰ τὸ ὄνομά σου τὸ ἅγιον, τὸ ἐπικληθὲν ἐπὶ τὴν ἡμετέραν ταπείνωσιν.

ΕΚΦΩΝΗΣΙΣ.

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεί.

Ο ΛΑΟΣ.

Ἀμήν.

Ο ΙΕΡΕΥΣ.

Εἰρήνη πᾶσιν.

Ο ΛΑΟΣ.

Καὶ τῷ πνεύματί σου.

Ο ΔΙΑΚΟΝΟΣ.

Τὰς κεφαλὰς ἡμῶν τῷ κυρίῳ κλίνωμεν.

Ο ΛΑΟΣ.

Σοὶ κύριε.

Ο ΙΕΡΕΥΣ ΕΠΕΥΧΕΤΑΙ λέγων οὕτω.

Σοὶ ἐκλίναμεν οἱ δοῦλοί σου κύριε τοὺς ἡμετέρους αὐχένας ἐνώπιον τοῦ ἁγίου σου θυσιαστηρίου, ἀπεκδεχόμενοι τὰ πα-

ρὰ

διὰ τὰ πλούσια ἐλέη· πλουσίαν τὴν χάριν σου καὶ τὴν εὐλογίαν σου ἐξαπόστειλον ἡμῖν δέσποτα, καὶ ἁγίασον τὰς ψυχὰς ἡμῶν, καὶ τὰ σώματα καὶ τὰ πνεύματα, ἵνα ἄξιοι γενώμεθα κοινωνοὶ καὶ μέτοχοι γενέσθαι τῶν ἁγίων σου μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

ΕΚΦΩΝΗΣΙΣ.

Σὺ γὰρ προσκυνητὸς καὶ δεδοξασμένος ὑπάρχεις ὁ θεὸς ἡμῶν, καὶ ὁ μονογενής σου υἱός, καὶ τὸ πνεῦμά σου τὸ πανάγιον, νῦν καὶ ἀεί.

Ο ΛΑΟΣ·

Ἀμήν.

Ο ΙΕΡΕΥΣ ΕΚΦΩΝΕΙ.

Καὶ ἔσται ἡ χάρις καὶ τὰ ἐλέη τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ἀκτίστου καὶ προσκυνητῆς τριάδος, μετὰ πάντων ἡμῶν.

Ο ΛΑΟΣ.

Καὶ μετὰ τοῦ πνεύματός σου.

Ο ΔΙΑΚΟΝΟΣ.

Μετὰ φόβου θεοῦ πρόσχωμεν.

Ο ΙΕΡΕΥΣ ΥΨΩΝ ΤΟ ΔΩΡΟΝ

λέγει καθ' ἑαυτόν.

Ἅγιε ὁ ἐν ἁγίοις ἀναπαυόμενος κύριε, ἁγίασον ἡμᾶς τῷ λόγῳ τῆς σῆς χάριτος, καὶ τῇ ἐπιφοιτήσει τοῦ παναγίου σου πνεύματος· σὺ γὰρ εἶπας δέσποτα, ἅγιοι ἔσεσθε, ὅτι ἐγὼ ἅγιός εἰμι· κύριε ὁ θεὸς ἡμῶν ἀκατάληπτε θεοῦ λόγε, τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι ὁμοούσιε, συναΐδιε καὶ ἀχώριστε, πρόσδεξαι τὸν ἀκήρατον ὕμνον ἐν ταῖς ἁγίαις καὶ ἀναιμάκτοις σου θυσίαις, σὺν τοῖς χερουβὶμ καὶ σεραφίμ, καὶ παρ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ βοῶντος καὶ λέγοντος.

ΕΚΦΩΝΗΣΙΣ.

Τὰ ἅγια τοῖς ἁγίοις.

ΟΛΑΟΣ.

Εἷς ἅγιος, εἷς κύριος, Ἰησοῦς χριστὸς, εἰς δόξαν θεοῦ πατρὸς, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΟΔΙΑΚΟΝΟΣ.

Ὑπὲρ ἀφέσεως τῶν ἁμαρτιῶν ἡμῶν, καὶ ἱλασμοῦ τῶν ψυχῶν ἡμῶν, καὶ ὑπὲρ πάσης ψυχῆς θλιβομένης τε καὶ καταπονουμένης, ἐλέους καὶ βοηθείας θεοῦ ἐπιδεομένης, καὶ ἐπιστροφῆς τῶν πεπλανημένων, ἰάσεως τῶν ἀσθενούντων, ἀναρρύσεως τῶν αἰχμαλώτων, ἀναπαύσεως τῶν προκεκοιμημένων πατέρων τε καὶ ἀδελφῶν ἡμῶν, πάντες ἐκτενῶς εἴπωμεν, κύριε ἐλέησον.

ΟΛΑΟΣ.

Κύριε ἐλέησον. δωδεκάκις.

ΕΙΤΑ ΚΛΑ ΤΟΝ ΑΡΤΟΝ Ο ΙΕΡΕΥΣ, καὶ κρατεῖ τῇ δεξιᾷ τὸ ἥμισυ, καὶ τῇ ἀριστερᾷ τὸ ἥμισυ, καὶ βάπτει τὸ τῆς δεξιᾶς ἐν τῷ κρατῆρι λέγων.

Ἕνωσις τοῦ παναγίου σώματος καὶ τοῦ τιμίου αἵματος τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ.

ΚΑΙ ΣΦΡΑΓΙΖΕΙ ΤΟ ΤΗΣ ΑΡΙΣΤΕΡΑΣ· εἶτα τούτῳ τῷ ἐσφραγισμένῳ, τὸ ἄλλο ἥμισυ· καὶ εὐθέως ἄρχεται μερίζειν, καὶ πρὸ πάντων διδόναι εἰς ἕκαστον κρατῆρα ἁπλῶν, λέγων.

Ἥνωται καὶ ἡγίασται καὶ τετελείωται εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεί.

ΚΑΙ ΟΤΑΝ ΣΦΡΑΓΙΖΗ τὸν ἄρτον, λέγει.

Ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ υἱὸς τοῦ πατρὸς, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, σφαγιασθεὶς ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας.

ΚΑΙ ΟΤΑΝ ΔΙΔΩ ΜΕΡΙΔΑ ἁπλῆν εἰς ἕκαστον κρατῆρα, λέγει.

Μερὶς

Μερὶς ἁγία χριστοῦ, πλήρης χάριτος καὶ ἀληθείας, πατρὸς καὶ ἁγίου πνεύματος, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΕΙΤΑ ΑΡΧΕΤΑΙ ΜΕΛΙΖΕΙΝ
καὶ λέγει.

Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει, εἰς τόπον χλόης,
καὶ τὰ ἑξῆς τοῦ ψαλμοῦ.

ΕΙΤΑ.

Εὐλογήσω τὸν κύριον ἐν παντὶ καιρῷ. καὶ τὰ ἑξῆς.

ΕΙΤΑ.

Ὑψώσω σε ὁ θεός μου ὁ βασιλ. καὶ τὰ ἑξῆς.

ΕΙΤΑ.

Αἰνεῖτε τὸν κύριον πάντα τὰ ἔθνη. καὶ τὰ ἑξῆς.

Ο ΔΙΑΚΟΝΟΣ.

Κύριε εὐλόγησον.

Ο ΙΕΡΕΥΣ.

Ὁ κύριος εὐλογήσει καὶ ἀκατακρίτους ἡμᾶς διατηρήσει ἐπὶ τῇ μεταλήψει τῶν ἀχράντων αὐτοῦ δωρεῶν, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

ΚΑΙ ΟΤΑΝ ΠΛΗΡΩΣΩΣΙ,
λέγει ὁ διάκονος.

Κύριε εὐλόγησον.

Ο ΙΕΡΕΥΣ ΛΕΓΕΙ.

Ὁ κύριος εὐλογήσει καὶ ἀξιώσει ἡμᾶς ἁγναῖς ταῖς τῶν δακτύλων λαβαῖς, λαβεῖν τὸν πύρινον ἄνθρακα, καὶ ἐπιθεῖναι τοῖς τῶν πιστῶν στόμασιν, εἰς καθαρισμὸν καὶ ἀνακαινισμὸν τῶν ψυχῶν αὐτῶν καὶ τῶν σωμάτων, νῦν καὶ ἀεί.

ΕΙΤΑ.

Γεύσασθε καὶ ἴδετε ὅτι χριστὸς ὁ κύριος, ὁ μελιζόμενος καὶ μὴ μεριζόμενος, καὶ τοῖς πιστοῖς μεταδιδόμενος καὶ μὴ δα-

πανώμενος, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν τὴν αἰώνιον, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

Ο ΔΙΑΚΟΝΟΣ.

Ἐν εἰρήνῃ χριστοῦ ψάλλωμεν.

ΟΙ ΨΑΛΤΑΙ.

Γεύσασθε καὶ ἴδετε ὅτι χρηστὸς ὁ κύριος.

Ο ΙΕΡΕΥΣ ΛΕΓΕΙ ΕΥΧΗΝ
περὶ τῆς μεταλήψεως.

Κύριος ὁ θεὸς ἡμῶν ὁ οὐράνιος ἄρτος, ἡ ζωὴ τοῦ παντὸς, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ εἰμὶ ἄξιος μεταλαβεῖν τῶν ἀχράντων σου μυστηρίων, ἀλλ᾽ ὡς εὔσπλαγχνος θεὸς ἀξίωσόν με τῇ χάριτί σου ἀκατακρίτως μετασχεῖν τοῦ ἁγίου σώματος καὶ τοῦ τιμίου αἵματος εἰς ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν αἰώνιον.

ΕΙΤΑ ΜΕΤΑΔΙΔΩΣΙ ΤΩ ΚΛΗΡΩ.

ὅτε δὲ ἐπαίρουσιν οἱ διάκονοι τοὺς δίσκους καὶ τοὺς κρατῆρας εἰς τὸ μεταδοῦναι τῷ λαῷ, λέγει ὁ διάκονος αἴρων τὸν πρῶτον δίσκον.

Κύριε εὐλόγησον.

ΑΠΟΚΡΙΝΕΤΑΙ Ο ΙΕΡΕΥΣ.

Δόξα τῷ θεῷ τῷ ἁγιάσαντι καὶ ἁγιάζοντι πάντας ἡμᾶς.

ΛΕΓΕΙ Ο ΔΙΑΚΟΝΟΣ.

Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ θεὸς καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου, καὶ ἡ βασιλεία σου διαμένει εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΚΑΙ ΟΤΕ ΜΕΛΛΕΙ Ο ΔΙΑΚΟΝΟΣ
ἀποθεῖναι εἰς τὸ παρατράπεζον, λέγει ὁ ἱερεύς.

Εὐλογητὸν τὸ ὄνομα κυρίου τοῦ θεοῦ ἡμῶν, εἰς τοὺς αἰῶνας.

Ο ΔΙΑΚΟΝΟΣ.

Μετὰ φόβου θεοῦ καὶ πίστεως καὶ ἀγάπης προσέλθετε.

Ο ΛΑΟΣ.

Εὐλο-

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου.

ΚΑΙ ΠΑΛΙΝ ΟΤΕ ΕΠΑΙΡΕΙ ΤΟΝ δίσκον ἀπὸ τῆς παρατραπέζου λέγει.

Κύριε εὐλόγησον.

Ο ΙΕΡΕΥΣ.

Σῶσον ὁ θεὸς τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Ο ΙΕΡΕΥΣ ΠΑΛΙΝ.

Δόξα τῷ θεῷ ἡμῶν τῷ ἁγιάσαντι πάντας ἡμᾶς.

ΚΑΙ ΟΤΑΝ ΑΠΟΘΗΤΑΙ ΤΟ ΠΟΤΗΡΙΟΝ εἰς τὴν ἁγίαν τράπεζαν, λέγει ὁ ἱερεύς.

Εἴη τὸ ὄνομα κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΛΕΓΟΥΣΙΝ ΟΙ ΔΙΑΚΟΝΟΙ καὶ ὁ λαός.

Πλήρωσον τὸ στόμα ἡμῶν αἰνέσεώς σου κύριε, καὶ χαρᾶς ἔμπλησον τὰ χείλη ἡμῶν, ὅπως ἀνυμνήσωμεν τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου.

ΚΑΙ ΠΑΛΙΝ.

Εὐχαριστοῦμέν σοι χριστὲ ὁ θεὸς ἡμῶν, ὅτι ἠξίωσας ἡμᾶς μεταλαβεῖν τοῦ σώματος καὶ αἵματός σου, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον· ἀκατακρίτους ἡμᾶς φύλαξον δεόμεθα, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

ΕΥΧΗ ΘΥΜΙΑΜΑΤΟΣ ΕΙΣ τὴν ἐσχάτην εἴσοδον.

Εὐχαριστοῦμέν σοι τῷ σωτῆρι τῶν ὅλων θεῷ ἐπὶ πᾶσιν οἷς παρέσχου ἡμῖν ἀγαθοῖς, καὶ ἐπὶ τῇ μεταλήψει τῶν ἁγίων καὶ ἀχράντων σου μυστηρίων· καὶ προσφέρομέν σοι τὸ θυμίαμα τοῦτο, δεόμενοι, φύλαξον ἡμᾶς ὑπὸ τὴν σκέπην τῶν πτερύγων σου, καὶ καταξίωσον ἡμᾶς μέχρι τῆς ἐσχάτης

ἡμῶν ἀναπνοῆς, μετέχειν τῶν ἁγιασμάτων σου, εἰς ἁγιασμὸν ψυχῶν καὶ σωμάτων, εἰς βασιλείας οὐρανῶν κληρονομίαν· ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν ὁ θεὸς, καὶ σοὶ τὴν δόξαν καὶ τὴν εὐχαριστίαν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι.

ΚΑΙ ΑΡΧΕΤΑΙ Ο ΔΙΑΚΟΝΟΣ
ἐν τῇ εἰσόδῳ.

Δόξα σοι, δόξα σοι, δόξα σοι χριστὲ βασιλεῦ, μονογενὲς λόγε τοῦ πατρὸς, ὅτι κατηξίωσας ἡμᾶς τοὺς ἁμαρτωλοὺς καὶ ἀναξίους δούλους σου ἐν ἀπολαύσει γενέσθαι τῶν ἀχράντων σου μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον. δόξα σοι.

ΚΑΙ ΟΤΑΝ ΠΟΙΗΣΗ ΤΗΝ ΕΙΣΟΔΟΝ, ἄρχεται λέγειν ὁ διάκονος οὕτως.

Ἔτι καὶ ἔτι καὶ διὰ παντὸς ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν. ὅπως γένηται ἡμῖν ἡ μετάληψις τῶν ἁγιασμάτων αὐτοῦ εἰς ἀποτροπὴν παντὸς πονηροῦ πράγματος, εἰς ἐφόδιον ζωῆς αἰωνίου, εἰς κοινωνίαν καὶ δωρεὰν τοῦ ἁγίου πνεύματος, δεηθῶμεν.

Ο ΙΕΡΕΥΣ ΕΥΧΕΤΑΙ.

Τῆς παναγίας, ἀχράντου, ὑπερενδόξου, εὐλογημένης δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν χριστῷ τῷ θεῷ παραθώμεθα.

Ο ΛΑΟΣ.

Σοὶ κύριε.

Ο ΙΕΡΕΥΣ.

Ὁ θεὸς ὁ διὰ πολλὴν καὶ ἄφατον φιλανθρωπίαν συγκαταβὰς τῇ ἀσθενείᾳ τῶν δούλων σου, καὶ καταξιώσας ἡμᾶς

μᾶς

μᾶς μεταχεῖν ταύτης τῆς ἐπουρανίου τραπέζης, μὴ κατακρίνης ἡμᾶς τοὺς ἁμαρτωλοὺς ἐπὶ τῇ μεταλήψει τῶν ἀχράντων σου μυστηρίων, ἀλλὰ φύλαξον ἡμᾶς ἀγαθέ, ἐν ἁγιασμῷ τοῦ ἁγίου σου πνεύματος, ἵνα ἅγιοι γενόμενοι, εὕρωμεν μέρος καὶ κληρονομίαν μετὰ πάντων τῶν ἁγίων τῶν ἀπ᾽ αἰῶνός σοι εὐαρεστησάντων, ἐν τῷ φωτὶ τοῦ προσώπου σου, διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου υἱοῦ, κυρίου δὲ καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι. ὅτι ηὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο ΛΑΟΣ.

Ἀμήν.

Ο ΙΕΡΕΥΣ.

Εἰρήνη πᾶσιν.

Ο ΛΑΟΣ.

Καὶ τῷ πνεύματί σου.

Ο ΔΙΑΚΟΝΟΣ.

Τὰς κεφαλὰς ἡμῶν τῷ κυρίῳ κλίνωμεν.

Ο ΙΕΡΕΥΣ.

Ὁ θεὸς ὁ μέγας καὶ θαυμαστὸς ἔπιδε ἐπὶ τοὺς δούλους σου, ὅτι σοὶ τοὺς αὐχένας ἐκλίναμεν· ἔκτεινον τὴν χεῖρά σου τὴν κραταιὰν καὶ πλήρη εὐλογιῶν, καὶ εὐλόγησον τὸν λαόν σου· διαφύλαξον τὴν κληρονομίαν σου, ἵνα ἀεὶ καὶ διὰ παντὸς δοξάζωμεν σὲ τὸν μόνον ζῶντα καὶ ἀληθινὸν θεὸν ἡμῶν, τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα, πατέρα καὶ υἱὸν καὶ τὸ ἅγιον πνεῦμα, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΕΚΦΩΝΗΣΙΣ.

Σοὶ γὰρ πρέπει καὶ ἐποφείλεται ἡ παρὰ πάντων ἡμῶν δό-

ξολογία, τιμὴ καὶ προσκύνησις καὶ εὐχαριστία, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί.

ΟΛΑΟΣ.

Ἀμήν.

Ο ΔΙΑΚΟΝΟΣ.

Ἐν εἰρήνῃ χριστοῦ ψάλλωμεν.

ΚΑΙ ΠΑΛΙΝ ΛΕΓΕΙ.

Ἐν εἰρήνῃ χριστοῦ προέλθωμεν.

Ο ΛΑΟΣ.

Ἐν ὀνόματι κυρίου. κύριε εὐλόγησον.

ΕΥΧΗ ΑΠΟΛΥΤΙΚΗ ΛΕΓΟΜΕΝΗ παρὰ τοῦ διακόνου.

Ἀπὸ δόξης εἰς δόξαν προερχόμενοι, σὲ ὑμνοῦμεν τὸν σωτῆρα τῶν ψυχῶν ἡμῶν. δόξα πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας, σὲ ὑμνοῦμεν τὸν σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Ο ΙΕΡΕΥΣ ΛΕΓΕΙ ΕΥΧΗΝ ΑΠΟ τοῦ θυσιαστηρίου μέχρι τοῦ σκευοφυλακίου.

Ἐκ δυνάμεως εἰς δύναμιν προερχόμενοι, καὶ πᾶσαν τὴν ἐν τῷ ναῷ σου πληρώσαντες θείαν λειτουργίαν, καὶ νῦν δεόμεθά σου κύριε ὁ θεὸς ἡμῶν, τελείας φιλανθρωπίας ἀξίωσον ἡμᾶς· ὀρθοτόμησον τὴν ὁδὸν ἡμῶν· ῥίζωσον ἡμᾶς ἐν τῷ φόβῳ σου, καὶ τῆς ἐπουρανίου βασιλείας ἀξίωσον, ἐν χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

Ο ΔΙΑΚΟΝΟΣ.

Ἔτι καὶ ἔτι καὶ διὰ παντὸς ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν.

ΕΥΧΗ ΛΕΓΟΜΕΝΗ ΕΝ ΤΩ σκευοφυλακίῳ μετὰ τὴν ἀπόλυσιν.

Ἐδω-

Ἔδωκας ἡμῖν δέσποτα τὸν ἁγιασμὸν ἐν τῇ μετουσίᾳ τοῦ παναγίου σώματος καὶ τοῦ τιμίου αἵματος τοῦ μονογενοῦς σου υἱοῦ, κυρίου δὲ ἡμῶν Ἰησοῦ χριστοῦ, δὸς ἡμῖν καὶ τὴν χάριν τοῦ πνεύματός σου τοῦ ἀγαθοῦ, καὶ φύλαξον ἡμᾶς ἀμώμους ἐν τῇ πίστει· ὁδήγησον ἡμᾶς εἰς τελείαν υἱοθεσίαν καὶ ἀπολύτρωσιν, καὶ εἰς τὰς μελλούσας αἰωνίους ἀπολαύσεις· σὺ γὰρ εἶ ὁ ἁγιασμὸς καὶ φωτισμὸς ἡμῶν ὁ θεὸς, καὶ ὁ μονογενής σου υἱὸς, καὶ τὸ πνεῦμά σου πανάγιον, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ο ΔΙΑΚΟΝΟΣ.

Ἐν εἰρήνῃ χριστοῦ διαφυλαχθῶμεν.

Ο ΙΕΡΕΥΣ.

Ηὐλόγηται ὁ θεὸς ὁ εὐλογῶν καὶ ἁγιάζων διὰ τῆς μεταλήψεως τῶν ἁγίων καὶ ζωοποιῶν καὶ ἀχράντων μυστηρίων, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΕΙΤΑ ΕΥΧΗ ΤΟΥ ΙΛΑΣΜΟΥ.

Κύριε Ἰησοῦ χριστὲ υἱὲ τοῦ θεοῦ τοῦ ζῶντος, ἀμνὲ καὶ ποιμὴν ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ὁ τὸ δάνειον τοῖς δυσὶ χρεωφειλέταις χαρισάμενος, καὶ τῇ ἁμαρτωλῷ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν αὐτῆς δοὺς, ὁ τὴν ἴασιν τῷ παραλυτικῷ δωρησάμενος, σὺν τῇ ἀφέσει τῶν ἁμαρτιῶν αὐτοῦ, ἄνες, ἄφες, συγχώρησον ὁ θεὸς τὰ πλημμελήματα ἡμῶν τὰ ἑκούσια, τὰ ἀκούσια· τὰ ἐν γνώσει, τὰ ἐν ἀγνοίᾳ, τὰ ἐν παραβάσει καὶ παρακοῇ γενόμενα, ἃ οἶδε τὸ πνεῦμά σου τὸ πανάγιον ὑπὲρ τοὺς δούλους σου· καὶ εἴ τι τῶν ἐντολῶν σου ὡς ἄνθρωποι σάρκα φοροῦντες καὶ τὸν κόσμον τοῦτον οἰκοῦντες ἢ ἐκ τοῦ διαβόλου ἐπλανήθησαν, εἴτε ἐν λόγῳ, ἢ ἐν ἔργῳ· εἴτε ὑπὸ κατάραν ὑπέπεσαν, ἢ τῷ ἰδίῳ ἀναθέματι, παρακαλῶ καὶ δέομαι τὴν ἄφατόν σου φιλανθρωπίαν, τῷ μὲν λόγῳ λυθῆναι· συγχωρηθῆναι δὲ αὐτοῖς καὶ

τῷ ὄρκῳ καὶ τῷ ἰδίῳ ἀναθέματι κατὰ τὴν σὴν ἀγαθότητα. ναὶ δέσποτα κύριε εἰσάκουσον τῆς δεήσεώς μου ὑπὲρ τῶν δούλων σου, καὶ παρίδε ὡς ἀμνησίκακος τὰ ἐπταισμένα αὐτῶν ἅπαντα· συγχώρησον αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον· ἀπάλλαξον αὐτοὺς τῆς αἰωνίου κολάσεως· σὺ γὰρ εἶ ὁ ἐντειλάμενος ἡμῖν λέγων, ὅτι, ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τοῖς οὐρανοῖς· καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τοῖς οὐρανοῖς· ὅτι σὺ εἶ ὁ θεὸς ἡμῶν, θεὸς τοῦ ἐλεεῖν καὶ σώζειν καὶ ἀφιέναι ἁμαρτίας δυνάμενος, καὶ πρέπει σοι ἡ δόξα σὺν τῷ ἀνάρχῳ πατρὶ καὶ τῷ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἡ ΘΕΊΑ

Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ ΤΟΥ
ἐν ἁγίοις πατρὸς Βασιλείου τοῦ μεγάλου.

ΣΗΜΕΙΩΣΑΙ ΟΤΙ ΑΥΤΗ Η ΘΕΙΑ λειτουργία τοῦ μεγάλου Βασιλείου, οὐ λέγεται πάντοτε, ἀλλ' ἐν καιροῖς τεταγμένοις, ἤγουν ἐν ταῖς κυριακαῖς τῆς ἁγίας μεγάλης τεσσαρακοστῆς, πλὴν τῆς κυριακῆς τῶν βαΐων· ἐν τῇ ἁγίᾳ μεγάλῃ πέμπτῃ, ἐν τῷ μεγάλῳ σαββάτῳ, ἐν τῇ παραμονῇ τῆς χριστοῦ τοῦ θεοῦ ἡμῶν γεννήσεως, καὶ τῶν φώτων, καὶ ἐν τῇ ἡμέρᾳ τῇ ἑορτασίμῳ τοῦ ἁγίου Βασιλείου, καὶ τῇ τοῦ σταυροῦ, κατὰ τὸν τύπον τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας. Η ἑρμηνεία καὶ ἡ διάταξις ταύτης τῆς ἱερουργίας ἡ αὐτή ἐστι τῇ τοῦ ἁγίου Χρυσοστόμου, ἔν τε ταῖς τοῦ ἱερέως καὶ τοῦ διακόνου εὐχαῖς τε καὶ θρησκείαις, πλὴν τινῶν, ἃ ἐν τοῖς ἑαυτῶν τόποις ἐσημειώθησαν.

ΕΥΧΗ ΤΗΣ ΠΡΟΘΕΣΕΩΣ.

Ο ΘΕΟΣ ὁ θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον τὴν τροφὴν τοῦ παντὸς κόσμου, τὸν κύριον ἡμῶν καὶ θεὸν Ἰησοῦν Χριστὸν ἐξαποστείλας σωτῆρα καὶ λυτρωτὴν καὶ εὐεργέτην, εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς, αὐτὸς εὐλόγησον τὴν πρόθεσιν ταύτην, καὶ πρόσδεξαι αὐτὴν εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον· μνημόνευσον ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, τῶν προσενεγκάντων καὶ δι' οὓς προσήγαγον, καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θείων σου μυστηρίων.

ΕΚΦΩΝΩΣ.

Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τὰ αὐτὰ τῇ λειτουργίᾳ τοῦ Χρυσοστόμου λέγεται καὶ ἐνταῦθα παρά τε τοῦ ἱερέως καὶ τοῦ διακόνου. ὁ ἱερεὺς ἐκφώνως.

Εὐλογημένη ἡ βασιλεία τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο χορός. Ἀμήν.

ΤΑ εἰρηνικὰ καὶ αἱ ἀποκρίσεις ὡς καὶ ἐν τῇ λειτουργίᾳ τοῦ Χρυσοστόμου. ὁ διάκονος.

Ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν. ὑπὲρ τῆς ἄνωθεν εἰρήνης. ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος. ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου. ὑπὲρ τοῦ ἀρχιεπισκόπου. ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλά. ὑπὲρ τοῦ συμπολεμῆσαι καὶ ὑποτά. ὑπὲρ τῆς ἁγίας μονῆς ταύτης. ὑπὲρ εὐκρασίας ἀέρων. ὑπὲρ πλεόντων, ὁδοιπορούντων. ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς.

ΕΥΧΗ ἀντιφώνου πρώτου μυστικῶς.

Κύριε ὁ θεὸς ἡμῶν, οὗ τὸ κράτος ἀνείκαστον, καὶ ἡ δόξα ἀκατάληπτος, οὗ τὸ ἔλεος ἀμέτρητον, καὶ ἡ φιλανθρωπία ἄφατος· αὐτὸς δέσποτα κατὰ τὴν εὐσπλαγχνίαν σου ἐπίβλεψον ἐφ᾽ ἡμᾶς, καὶ ἐπὶ τὸν ἅγιον οἶκον τοῦτον, καὶ ποίησον μεθ᾽ ἡμῶν καὶ τῶν συνευχομένων ἡμῖν, πλούσια τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου.

ΤΟΥ ἱερέως λέγοντος τὴν εὐχὴν μυστικῶς ἐν τῷ βήματι, ἐν τῷ αὐτῷ καιρῷ ὁ διάκονος λέγει ἔξω τοῦ βήματος τὰ εἰρηνικά· εἰ δ᾽ οὐκ ἔστι διάκονος, ὁ ἱερεὺς μετὰ τὴν εὐχήν, λέγει τὰ εἰρηνικά, καὶ μετὰ ταῦτα τὴν ἐκφώνησιν.

Ἔτι καὶ ἔτι τοῦ κυρίου. Ἀντιλαβοῦ, σῶσον. Τῆς παναγίας, ἀχράντου, ὑπέρ.

ΕΚΦΩΝΩΣ ὁ ἱερεύς.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο χορός. Ἀμήν.

Μετὰ τὰ εἰρηνικὰ ὁ χορὸς ψάλλει τὸ πρῶτον ἀντίφωνον, ἢ τὰ τυπικὰ εἰ ἔστι κυριακὴ εἴτε ἄλλη, τῆς ἡμέρας. Εὐχὴ ἀντιφώνου δευτέρου μυστικῶς.

Κύριε ὁ θεὸς ἡμῶν σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν

κληρ

κληρονομίαν σου· τὸ πλήρωμα τῆς ἐκκλησίας σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ.

Σημείωσαι καὶ ἐνταῦθα ὡς καὶ ἐν τῇ εὐχῇ τῇ πρώτῃ, εἰ ἔστι διάκονος, ἢ οὐκ ἔστιν.

Ἔτι καὶ ἔτι. Ἀντιλαβοῦ. Τῆς παναγίας, ἀχράντου.

Ἐκφώνως ὁ ἱερεύς.

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός. Ἀμήν.

Μετὰ τὰ δεύτερα εἰρηνικά, ψάλλει ὁ χορὸς τὸ δεύτερον ἀντίφωνον, ἢ τὰ τυπικὰ τὰ δεύτερα, εἰ ἔστι κυριακὴ εἴτ' οὖν, τῆς ἡμέρας.

Εὐχὴ ἀντιφώνου τρίτου μυστικῶς.

Ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους ἡμῖν χαρισάμενος προσευχάς, ὁ καὶ δύο καὶ τρισὶ συμφωνοῦσιν ἐπὶ τῷ ὀνόματί σου, τὰς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος, αὐτὸς καὶ νῦν τῶν δούλων σου τὰ αἰτήματα πρὸς τὸ συμφέρον πλήρωσον, χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας, καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον χαριζόμενος.

Καὶ ἐνταῦθα σημείωσαι ὡς καὶ ἐν τῇ εὐχῇ τῇ πρώτῃ καὶ δευτέρᾳ, εἰ ἔστι διάκονος, ἢ οὐκ ἔστιν.

Ἔτι καὶ ἔτι. Ἀντιλαβοῦ, σῶσον. Τῆς παναγίας, ἀχράντου.

Ἐκφώνως ὁ ἱερεύς.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός. Ἀμήν.

ΚΑΝΤΑΥΘΑ τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ ὁ ἱερεὺς τὰ αὐτὰ ψάλλει· ὅ,τι ἱερεὺς καὶ ὁ διάκονος ταὐτὰ καὶ λέγουσι καὶ ποιοῦσιν.

Εὐχὴ τῆς εἰσόδου τοῦ ἁγίου εὐαγγελίου μυστικῶς.

Δέσποτα κύριε ὁ θεὸς ἡμῶν ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα καὶ στρατιὰς ἀγγέλων καὶ ἀρχαγγέλων, εἰς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν, εἴσοδον ἁγίων ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα.

Ἐκφώνως.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ ἱερεύς. Ἀμήν.

ΜΕΤΑ τὴν εὐχὴν ὅ,τι ἱερεὺς καὶ ὁ διάκονος καὶ ὁ ἱερεὺς ταὐτὰ καὶ ποιοῦσι καὶ λέγουσι τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ.

Εὐχὴ τοῦ τρισαγίου, ἣν ὁ ἱερεὺς μυστικῶς λέγει.

Ὁ θεὸς ὁ ἅγιος ὁ ἐν ἁγίοις ἀναπαυόμενος, ὁ τρισαγίῳ φωνῇ ὑπὸ τῶν σεραφὶμ ἀνυμνούμενος, καὶ ὑπὸ τῶν χερουβὶμ δοξολογούμενος, καὶ ὑπὸ πάσης ἐπουρανίου δυνάμεως προσκυνούμενος· ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα, ὁ κτίσας τὸν ἄνθρωπον κατ᾽ εἰκόνα σὴν καὶ ὁμοίωσιν, καὶ παντί σου χαρίσματι κατακοσμήσας· ὁ διδοὺς αἰτοῦντι σοφίαν καὶ σύνεσιν, καὶ μὴ παρορῶν ἁμαρτάνοντα, ἀλλὰ θέμενος ἐπὶ σωτηρίᾳ μετάνοιαν· ὁ καταξιώσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου καὶ ἐν τῇ ὥρᾳ ταύτῃ στῆναι κατενώπιον τῆς δόξης τοῦ ἁγίου σου θυσιαστηρίου, καὶ τὴν ὀφειλομένην σοι προσκύνησιν καὶ δοξολογίαν προσάγειν· αὐτὸς δέσποτα πρόσδεξαι καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν τρισάγιον ὕμνον, καὶ ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου·

συγ-

συγχώρησον ἡμῖν πᾶν πλημμέλημα, ἑκούσιόν τε καὶ ἀκούσιον· ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα, καὶ δὸς ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν, πρεσβείαις τῆς ἁγίας θεοτόκου καὶ πάντων τῶν ἁγίων τῶν ἀπ᾽ αἰῶνός σοι εὐαρεστησάντων. Ἐκφώνως.

Ὅτι ἅγιος εἶ ὁ θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός. Ἀμήν.

ΤΑΥΤΗΣ τῆς εὐχῆς τελεσθείσης, καὶ τοῦ χοροῦ ψάλλοντος τὸ, Δόξα καὶ νῦν. ὅ, τε ἱερεὺς καὶ ὁ διάκονος ψάλλουσι τὸ τρισάγιον καὶ τὰ λοιπὰ ποιοῦσιν, ὡς ἐν τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ.

Ὁ διάκονος.

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς. Κύριε παντοκράτορ ὁ θεὸς τῶν. Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐ.

Ὁ ἱερεὺς λέγει τὴν εὐχὴν ταύτην μυστικῶς.

Κύριε ὁ θεὸς ἡμῶν τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων, καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ τοὺς οἰκτιρμούς σου, κατάπεμψον ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ πάντα τὸν λαόν σου, τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος.

Ἐκφώνως.

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός. Ἀμήν.

ΤΑ αὐτὰ ὁ διάκονος καὶ ἐνταῦθα [illegible] τῶν κατηχουμένων τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ λέγει.

Εὔξασθε οἱ κατηχούμενοι τῷ κυρίῳ. Οἱ πιστοὶ ὑπὲρ. Κατηχήσῃ αὐτοὺς τὸν. Ἀποκαλύψῃ αὐτοῖς. Ἑνώσῃ

αὐτούς. Σῶσον, ἐλέησον, ἀν. Οἱ κατηχούμενοι, τὰς κεφαλάς.

ΕΥΧΗ ὑπὲρ τῶν κατηχουμένων πρὸ τῆς ἁγίας ἀναφορᾶς, ἣν ὁ ἱερεὺς λέγει μυστικῶς.

Κύριε ὁ θεὸς ἡμῶν ὁ ἐν οὐρανοῖς κατοικῶν καὶ ἐπιβλέπων ἐπὶ πάντα τὰ ἔργα σου, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους, τοὺς κεκλικότας τοὺς ἑαυτῶν αὐχένας ἐνώπιόν σου, καὶ δὸς αὐτοῖς τὸν ἐλαφρὸν ζυγόν, ποίησον αὐτοὺς μέλη τῆς ἁγίας σου ἐκκλησίας, καὶ καταξίωσον αὐτοὺς τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας, εἰς ἐπίγνωσίν σου τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν.

Ἐκφώνως ὁ ἱερεύς.

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον καὶ μεγαπρεπὲς ὄνομά σου, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός. Ἀμήν.

ΜΕΤΑ τὴν ἐκφώνησιν ὁ ἱερεὺς ἐξαπλοῖ τὸ εἰλητὸν κατὰ τὸ συνήθες.

Ο ΔΙΑΚΟΝΟΣ.

Ὅσοι κατηχούμενοι προέλθετε, οἱ κατηχούμενοι προέλθετε, ὅσοι κατηχούμενοι προέλθετε· μή τις τῶν κατηχουμένων. ὅσοι πιστοί, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν.

Ὁ χορός. Κύριε ἐλέησον.

ΕΥΧΗ πιστῶν πρώτη μετὰ τὸ ἁπλωθῆναι τὸ εἰλητόν, ἣν ὁ ἱερεὺς λέγει μυστικῶς.

Σὺ κύριε κατέδειξας ἡμῖν τὸ μέγα τοῦτο τῆς σωτηρίας μυστήριον, σὺ κατηξίωσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου γενέσθαι λειτουργοὺς τοῦ ἁγίου σου θυσιαστηρίου· σὺ ἱκάνωσον ἡμᾶς τῇ δυνάμει τοῦ ἁγίου σου πνεύματος εἰς τὴν διακονίαν ταύτην, ἵνα ἀκατακρίτως σταν-

τες ἐνώπιον τῆς ἁγίας δόξης σου, προσάγομέν σοι θυσίαν αἰνέσεως· σὺ γὰρ εἶ ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι· δὸς κύριε καὶ ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων, δεκτὴν γενέσθαι τὴν θυσίαν ἡμῶν καὶ εὐπρόσδεκτον ἐνώπιόν σου.

Εὐχομένου τοῦ ἱερέως, ὁ διάκονος λέγει τὰ εἰρηνικά, εἰ ἔστιν, ἔξω τοῦ ἁγίου βήματος.

Ἔτι καὶ ἔτι. Ἀντιλαβοῦ. Τῆς παναγίας, ἀχράντου.

Ὁ διάκονος. Σοφία.

Ἐκφώνως ὁ ἱερεύς.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός. Ἀμήν.

Εὐχὴ πιστῶν δευτέρα, ἣν ὁ ἱερεὺς λέγει μυστικῶς.

Ὁ θεὸς ὁ ἐπισκεψάμενος ἐν ἐλέει καὶ οἰκτιρμοῖς τὴν ταπείνωσιν ἡμῶν, ὁ στήσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἁμαρτωλοὺς καὶ ἀναξίους δούλους σου κατενώπιον τῆς ἁγίας δόξης σου, λειτουργεῖν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, σὺ ἐνίσχυσον ἡμᾶς τῇ δυνάμει τοῦ ἁγίου σου πνεύματος εἰς τὴν διακονίαν ταύτην· καὶ δὸς ἡμῖν λόγον ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν, εἰς τὸ ἐπικαλεῖσθαι τὴν χάριν τοῦ ἁγίου πνεύματος ἐπὶ τῶν μελλόντων προτίθεσθαι δώρων.

Εὐχομένου τοῦ ἱερέως, ὁ διάκονος λέγει τὰ εἰρηνικὰ ἔξω τοῦ ἁγίου βήματος, ὡς καὶ πρότερον. μετὰ τὰ εἰρηνικὰ λέγει ἐκφώνως ὁ ἱερεύς.

Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός. Ἀμήν.

Τὰ αὐτὰ κἀνταῦθα καὶ λέγουσι καὶ ποιοῦσιν ὅ, τε ἱερεὺς καὶ ὁ διάκονος τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ.

Εὐχὴ ἣν λέγει ὁ ἱερεὺς μυστικῶς, τοῦ χερουβικοῦ ᾀδομένου.

Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς, προσέρχεσθαι ἢ προσεγγίζειν ἢ λειτουργεῖν σοι βασιλεῦ τῆς δόξης· τὸ γὰρ διακονεῖν σοι, μέγα καὶ φοβερὸν καὶ αὐταῖς ταῖς ἐπουρανίαις δυνάμεσιν· ἀλλ' ὅμως διὰ τὴν ἄφατον καὶ ἀμέτρητον σου φιλανθρωπίαν ἀτρέπτως καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος, καὶ ἀρχιερεὺς ἡμῶν ἐχρημάτισας, καὶ τῆς λειτουργικῆς ταύτης καὶ ἀναιμάκτου θυσίας τὴν ἱερουργίαν παρέδωκας ἡμῖν ὡς δεσπότης τῶν ἁπάντων· σὺ γὰρ μόνος κύριε ὁ θεὸς ἡμῶν δεσπόζεις τῶν ἐπουρανίων καὶ τῶν ἐπιγείων, ὁ ἐπὶ θρόνου χερουβικοῦ ἐποχούμενος, ὁ τῶν σεραφὶμ κύριος καὶ βασιλεὺς τοῦ Ἰσραήλ, ὁ μόνος ἅγιος καὶ ἐν ἁγίοις ἀναπαυόμενος. σὲ τοίνυν δυσωπῶ τὸν μόνον ἀγαθὸν καὶ εὐήκοον· ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ἁμαρτωλὸν καὶ ἀχρεῖον δοῦλόν σου, καὶ καθάρισόν μου τὴν ψυχὴν καὶ τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς· καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ ἁγίου σου πνεύματος, ἐνδεδυμένον τὴν τῆς ἱερατείας χάριν, παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ τραπέζῃ, καὶ ἱερουργῆσαι τὸ ἅγιον καὶ ἄχραντόν σου σῶμα καὶ τίμιον αἷμα· σοὶ γὰρ προσέρχομαι, κλίνας τὸν ἐμαυτοῦ αὐχένα· καὶ δέομαί σου, μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, μηδὲ ἀποδοκιμάσῃς με ἐκ παίδων σου· ἀλλ' ἀξίωσον προσενεχθῆναί σοι ὑπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου τὰ δῶρα ταῦτα· σὺ γὰρ εἶ ὁ προσφέρων καὶ προσφερόμενος, καὶ προσδεχόμενος καὶ διαδιδόμενος Χριστὲ ὁ θεὸς ἡμῶν· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ταῦτα ὅ,τε ἱερεὺς καὶ ὁ διάκονος τὰ αὐτὰ καὶ ποιοῦσι καὶ λέγουσι τῇ τοῦ Χρυσοστόμου ἱερουργίᾳ· καὶ τελεσθέντων τῶν εὐχῶν καὶ τῶν θρησκειῶν, ὁ διάκονος ἔρχεται ἐν τῷ συνήθει τόπῳ λέγων.

Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ κυρίῳ. ὑπὲρ τῶν προτεθέντων τιμίων. ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου. ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς.

Εὐχὴ προσκομιδῆς μετὰ τὴν ἐν τῇ ἁγίᾳ τραπέζῃ τῶν θείων δώρων ἀπόθεσιν, ἣν ὁ ἱερεὺς λέγει μυστικῶς.

Κύριε ὁ θεὸς ἡμῶν ὁ κτίσας ἡμᾶς καὶ ἀγαγὼν εἰς τὴν ζωὴν ταύτην, ὁ ὑποδείξας ἡμῖν ὁδοὺς εἰς σωτηρίαν, ὁ χαρισάμενος ἡμῖν οὐρανίων μυστηρίων ἀποκάλυψιν· σὺ εἶ ὁ θέμενος ἡμᾶς εἰς τὴν διακονίαν ταύτην ἐν τῇ δυνάμει τοῦ πνεύματός σου τοῦ ἁγίου· εὐδόκησον δὴ κύριε τοῦ γενέσθαι ἡμᾶς διακόνους τῆς καινῆς σου διαθήκης, λειτουργοὺς τῶν ἁγίων σου μυστηρίων· πρόσδεξαι ἡμᾶς προσεγγίζοντας τῷ ἁγίῳ σου θυσιαστηρίῳ, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, ἵνα γενώμεθα ἄξιοι τοῦ προσφέρειν σοι τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον θυσίαν ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων, ἣν προσδεξάμενος εἰς τὸ ἅγιον καὶ νοερόν σου θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ ἁγίου σου πνεύματος. ἐπίβλεψον ἐφ' ἡμᾶς ὁ θεὸς, καὶ ἔπιδε ἐπὶ τὴν λατρείαν ἡμῶν ταύτην, καὶ πρόσδεξαι αὐτὴν, ὡς προσεδέξω Ἄβελ τὰ δῶρα, Νῶε τὰς θυσίας, Ἀβραὰμ τὰς ὁλοκαρπώσεις, Μωσέως καὶ Ἀαρὼν τὰς ἱερωσύνας, Σαμουὴλ τὰς εἰρηνικάς· ὡς προσεδέξω ἐκ τῶν ἁγίων σου ἀποστόλων τὴν ἀληθινὴν ταύτην λατρείαν, οὕτω καὶ ἐκ τῶν χειρῶν ἡμῶν τῶν ἁμαρτωλῶν πρόσδεξαι τὰ δῶρα ταῦτα ἐν τῇ χρηστότητί σου κύριε, ἵνα καταξιωθέντες λειτουργεῖν ἀμέμπτως τῷ ἁγίῳ σου θυσιαστηρίῳ, εὕρωμεν

τὸν μισθὸν τῶν πιστῶν καὶ φρονίμων οἰκονόμων ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ τῆς ἀνταποδόσεώς σου τῆς δικαίας.

Ὁ διάκονος ὡς ἐν τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον. Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν. Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν. Συγγνώμην καὶ ἄφεσιν τῶν. Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς. Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς. Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν. Τῆς παναγίας, ἀχράντου.

Ἐκφώνως ὁ ἱερεύς.

Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός. Ἀμήν.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ διάκονος.

Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν,

Ὁ χορός.

Πατέρα, υἱόν, καὶ ἅγιον πνεῦμα, τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Ὁ ἱερεὺς προσκυνεῖ τρίς, λέγων μυστικῶς.

Ἀγαπήσω σε κύριε ἡ ἰσχύς μου, κύριε στερέωμά μου καὶ καταφυγή μου. Τρίς.

Καὶ ὁ διάκονος περιπτύσσεται τὸ ὡράριον αὐτοῦ, καὶ προσκυνεῖ τρίς, καὶ ἐπισυνάπτει ἐκφώνως.

Τὰς θύρας, τὰς θύρας. ἐν σοφίᾳ πρόσχωμεν.

Ὁ χορός, τό, Πιστεύω.

Καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ ἁγίου συμβόλου, λέγει ὁ διάκονος ἐκφώνως.

Στῶμεν καλῶς, στῶμεν μετὰ φόβου, πρόσχωμεν τὴν ἁγίαν ἀναφορὰν ἐν εἰρήνῃ προσφέρειν. *Ὁ χορός.*

Ἔλαιον

Ἔλαιον εἰρήνης, θυσίαν αἰνέσεως.

Ὁ ἱερεὺς ἐκφώνως.

Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ θεοῦ καὶ πατρός, καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος, εἴη μετὰ πάντων ὑμῶν.

Ὁ χορός. Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ ἱερεύς. Ἄνω σχῶμεν τὰς καρδίας.

Ὁ χορός. Ἔχομεν πρὸς τὸν κύριον.

Ὁ ἱερεύς. Εὐχαριστήσωμεν τῷ κυρίῳ.

Ὁ χορός.

Ἄξιον καὶ δίκαιόν ἐστι προσκυνεῖν πατέρα, υἱόν, καὶ ἅγιον πνεῦμα, τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται μυστικῶς.

Ὁ ὤν, δέσποτα κύριε, θεὲ πάτερ, παντοκράτορ, προσκυνητέ, ἄξιον ὡς ἀληθῶς καὶ δίκαιον καὶ πρέπον τῇ μεγαλοπρεπείᾳ τῆς ἁγιωσύνης σου, σὲ αἰνεῖν, σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ προσκυνεῖν, σοὶ εὐχαριστεῖν, σὲ δοξάζειν τὸν μόνον ὄντως ὄντα θεόν, καὶ σοὶ προσφέρειν ἐν καρδίᾳ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως τὴν λογικὴν ταύτην λατρείαν ἡμῶν, ὅτι σὺ εἶ ὁ χαρισάμενος ἡμῖν τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας. καὶ τίς ἱκανὸς λαλῆσαι τὰς δυναστείας σου, ἀκουστὰς ποιῆσαι πάσας τὰς αἰνέσεις σου, ἢ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου ἐν παντὶ καιρῷ. δέσποτα δέσποτα τῶν ἁπάντων, κύριε οὐρανοῦ καὶ γῆς καὶ πάσης κτίσεως ὁρωμένης τε καὶ οὐχ ὁρωμένης, ὁ καθήμενος ἐπὶ θρόνου δόξης, καὶ ἐπιβλέπων ἀβύσσους, ἄναρχε, ἀόρατε, ἀκατάληπτε, ἀπερίγραπτε, ἀναλλοίωτε, ὁ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος, τῆς ἐλπίδος ἡμῶν, ὅς ἐστιν εἰκὼν τῆς σῆς ἀγαθότητος, σφραγὶς ἰσότυπος ἐν ἑαυτῷ δεικνὺς σὲ τὸν πατέρα, λόγος

ζῶν, θεὸς ἀληθινός, ἡ πρὸ αἰώνων σοφία, ζωή, ἁγιασμός, δύναμις, τὸ φῶς τὸ ἀληθινόν· παρ' οὗ τὸ πνεῦμα τὸ ἅγιον ἐξεφάνη, τὸ τῆς ἀληθείας πνεῦμα, τὸ τῆς υἱοθεσίας χάρισμα, ὁ ἀρραβὼν τῆς μελλούσης κληρονομίας, ἡ ἀπαρχὴ τῶν αἰωνίων ἀγαθῶν, ἡ ζωοποιὸς δύναμις, ἡ πηγὴ τοῦ ἁγιασμοῦ· παρ' οὗ πᾶσα κτίσις λογική τε καὶ νοερὰ δυναμουμένη, σοὶ λατρεύει, καὶ σοὶ τὴν ἀΐδιον ἀναπέμπει δοξολογίαν· ὅτι τὰ σύμπαντα, δοῦλα σά· σὲ γὰρ αἰνοῦσιν ἄγγελοι, ἀρχάγγελοι, θρόνοι, κυριότητες, ἀρχαί, ἐξουσίαι, δυνάμεις, καὶ τὰ πολυόμματα χερουβίμ, σοὶ παρίστανται κύκλῳ τὰ σεραφίμ, ἓξ πτέρυγες τῷ ἑνί, καὶ ἓξ πτέρυγες τῷ ἑνί, καὶ ταῖς μὲν δυσὶ κατακαλύπτουσι τὰ πρόσωπα ἑαυτῶν, ταῖς δὲ δυσὶ τοὺς πόδας, καὶ ταῖς δυσὶ πετόμενα, κέκραγον, ἕτερον πρὸς τὸ ἕτερον ἀκαταπαύστοις στόμασιν, ἀσιγήτοις δοξολογίαις,

Ἐκφώνως ὁ ἱερεύς.

Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα καὶ λέγοντα, Ὁ χορός.

Ἅγιος, ἅγιος, ἅγιος, κύριος σαβαώθ. πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου, ὡσαννὰ ἐν τοῖς ὑψίστοις. εὐλογημένος ὁ ἐρχόμενος, ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

Καὶ λοιπὸν ὁ διάκονος τὰ αὐτὰ ποιεῖ τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ. ἐπεύχεται μυστικῶς ὁ ἱερεύς.

Μετὰ τούτων τῶν μακαρίων δυνάμεων, δέσποτα φιλάνθρωπε καὶ ἡμεῖς οἱ ἁμαρτωλοί, βοῶμεν καὶ λέγομεν, ἅγιος εἶ ὡς ἀληθῶς καὶ πανάγιος, καὶ οὐκ ἔστι μέτρον τῇ μεγαλοπρεπείᾳ τῆς ἁγιωσύνης σου, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις σου, ὅτι ἐν δικαιοσύνῃ καὶ κρίσει ἀληθινῇ πάντα ἐπήγαγες ἡμῖν· πλάσας γὰρ τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς, καὶ εἰκόνι τῇ σῇ ὁ θεὸς τιμήσας, τέθεικας αὐτὸν ἐν τῷ πα-

παραδείσῳ τῆς τρυφῆς, ἀθανασίαν ζωῆς καὶ ἀπόλαυσιν αἰωνίων ἀγαθῶν ἐν τῇ τηρήσει τῶν ἐντολῶν σου ἐπαγγειλάμενος αὐτῷ, ἀλλὰ παρακούσαντά σου τοῦ ἀληθινοῦ θεοῦ τοῦ κτίσαντος αὐτόν, καὶ τῇ ἀπάτῃ τοῦ ὄφεως ὑπαχθέντα, νεκρωθέντα τε τοῖς οἰκείοις αὐτοῦ παραπτώμασιν, ἐξώρισας αὐτὸν ἐν τῇ δικαιοκρισίᾳ σου ὁ θεὸς ἐκ τοῦ παραδείσου εἰς τὸν κόσμον τοῦτον, καὶ ἀπέστρεψας εἰς τὴν γῆν ἐξ ἧς ἐλήφθη, οἰκονομῶν αὐτῷ τὴν ἐκ παλιγγενεσίας σωτηρίαν, τὴν ἐν αὐτῷ τῷ χριστῷ σου· οὐ γὰρ ἀπεστράφης τὸ πλάσμα σου εἰς τέλος, ὃ ἐποίησας ἀγαθέ, οὐδὲ ἐπελάθου ἔργου χειρῶν σου, ἀλλ᾽ ἐπεσκέψω πολυτρόπως διὰ σπλάγχνα ἐλέους σου· προφήτας ἐξαπέστειλας, ἐποίησας δυνάμεις διὰ τῶν ἁγίων σου τῶν καθ᾽ ἑκάστην γενεὰν εὐαρεστησάντων σοι· ἐλάλησας ἡμῖν διὰ στόματος τῶν δούλων σου τῶν προφητῶν, προκαταγγέλλων ἡμῖν τὴν μέλλουσαν ἔσεσθαι σωτηρίαν· νόμον ἔδωκας εἰς βοήθειαν, ἀγγέλους ἐπέστησας φύλακας· ὅτε δὲ ἦλθε τὸ πλήρωμα τῶν καιρῶν, ἐλάλησας ἡμῖν ἐν αὐτῷ τῷ υἱῷ σου, δι᾽ οὗ καὶ τοὺς αἰῶνας ἐποίησας, ὃς ὢν ἀπαύγασμα τῆς δόξης σου, καὶ χαρακτὴρ τῆς ὑποστάσεώς σου, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα σοι τῷ θεῷ καὶ πατρί· ἀλλὰ θεὸς ὢν προαιώνιος, ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη, καὶ ἐκ παρθένου ἁγίας σαρκωθείς, ἐκένωσεν ἑαυτὸν μορφὴν δούλου λαβών, σύμμορφος γενόμενος τῷ σώματι τῆς ταπεινώσεως ἡμῶν, ἵνα ἡμᾶς συμμόρφους ποιήσῃ τῆς εἰκόνος τῆς δόξης αὐτοῦ· ἐπειδὴ γὰρ δι᾽ ἀνθρώπου ἡ ἁμαρτία εἰσῆλθεν εἰς τὸν κόσμον, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, εὐδόκησεν ὁ μονογενής σου υἱός, ὁ ὢν ἐν τοῖς κόλποις σου τοῦ θεοῦ καὶ πατρός, γενόμενος ἐκ γυναικὸς τῆς ἁγίας θεοτόκου καὶ

ἀειπαρθένου Μαρίας, γενόμενος ὑπὸ νόμον, κατακρῖναι τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ αὐτοῦ, ἵνα οἱ ἐν τῷ Ἀδὰμ ἀποθνήσκοντες, ζωοποιηθῶσιν ἐν αὐτῷ τῷ χριστῷ σου· καὶ ἐμπολιτευσάμενος τῷ κόσμῳ τούτῳ, δοὺς προστάγματα σωτηρίας, ἀποστήσας ἡμᾶς τῆς πλάνης τῶν εἰδώλων, προσήγαγε τῇ ἐπιγνώσει σου τοῦ ἀληθινοῦ θεοῦ καὶ πατρὸς, κτησάμενος ἡμᾶς ἑαυτῷ λαὸν περιούσιον, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον· καὶ καθαρίσας ἐν ὕδατι, καὶ ἁγιάσας τῷ πνεύματι τῷ ἁγίῳ, ἔδωκεν ἑαυτὸν ἀντάλλαγμα τῷ θανάτῳ, ἐν ᾧ κατειχόμεθα πεπραμένοι ὑπὸ τὴν ἁμαρτίαν· καὶ κατελθὼν διὰ τοῦ σταυροῦ εἰς τὸν ᾅδην, ἵνα πληρώσῃ ἑαυτοῦ τὰ πάντα, ἔλυσε τὰς ὠδῖνας τοῦ θανάτου· καὶ ἀναστὰς τῇ τρίτῃ ἡμέρᾳ, καὶ ὁδοποιήσας πάσῃ σαρκὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν, καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι ὑπὸ τῆς φθορᾶς τὸν ἀρχηγὸν τῆς ζωῆς, ἐγένετο ἀπαρχὴ τῶν κεκοιμημένων, πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα ᾖ αὐτὸς τὰ πάντα ἐν πᾶσι πρωτεύων· καὶ ἀνελθὼν εἰς τοὺς οὐρανοὺς, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης σου ἐν ὑψηλοῖς, ὃς καὶ ἥξει ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. κατέλιπε δὲ ἡμῖν ὑπομνήματα τοῦ σωτηρίου αὐτοῦ πάθους, ταῦτα, ἃ προτεθείκαμεν κατὰ τὰς αὐτοῦ ἐντολάς· μέλλων γὰρ ἐξιέναι ἐπὶ τὸν ἑκούσιον καὶ ἀοίδιμον καὶ ζωοποιὸν αὐτοῦ θάνατον, τῇ νυκτὶ ᾗ παρεδίδου ἑαυτὸν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐπὶ τῶν ἁγίων αὐτοῦ καὶ ἀχράντων χειρῶν, καὶ ἀναδείξας σοὶ τῷ θεῷ καὶ πατρὶ, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας, κλάσας,

Ὁ ἱερεὺς κλίνει τὴν κεφαλὴν, καὶ αἴρων τῇ δεξιᾷ αὐτοῦ μετ' εὐλαβείας, εὐλογεῖ τὸν ἅγιον ἄρτον, ἐκφώνως λέγων.

Ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, εἰπὼν, λάβετε, φάγετε· τοῦτό μου ἐστὶ τὸ σῶμα τὸ ὑπὲρ ἡμῶν κλώ-

κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ χορὸς ψάλλει. Ἀμήν.

Ὅ,τι ἱερεὺς καὶ ὁ διάκονος τὰ αὐτὰ καὶ ἐνταῦθα τῇ τοῦ Χρυσοστόμου.

Ὁ ἱερεὺς μυστικῶς.

Ὁμοίως καὶ τὸ ποτήριον ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου λαβών, κεράσας, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας,

Ἐκφώνως ὁ ἱερεὺς τὴν χεῖρα ἔχων ἄνωθεν μετὰ εὐλαβείας, καὶ εὐλογῶν λέγει.

Ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις εἰπών, πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ χορὸς ψάλλει. Ἀμήν.

Ὁ ἱερεὺς κλίνας τὴν κεφαλὴν, ἐπεύχεται μυστικῶς.

Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν ἐμὸν θάνατον καταγγέλετε, τὴν ἐμὴν ἀνάστασιν ὁμολογεῖτε. μεμνημένοι οὖν δέσποτα καὶ ἡμεῖς τῶν σωτηρίων αὐτοῦ παθημάτων, τοῦ ζωοποιοῦ σταυροῦ, τῆς τριημέρου ταφῆς, τῆς ἐκ νεκρῶν ἀναστάσεως, τῆς εἰς οὐρανοὺς ἀνόδου, τῆς ἐκ δεξιῶν σου τοῦ θεοῦ καὶ πατρὸς καθέδρας, καὶ τῆς ἐνδόξου καὶ φοβερᾶς αὐτοῦ παρουσίας,

Ἐκφώνως ὁ ἱερεύς.

Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέροντες, κατὰ πάντα καὶ διὰ πάντα.

Ὁ χορὸς ψάλλει.

Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν κύριε, καὶ δεόμεθά σου ὁ θεὸς ἡμῶν.

Ὁ ἱερεὺς κλίνας τὴν κεφαλὴν, εὔχεται μυστικῶς.

Διὰ τοῦτο δέσποτα πανάγιε, καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ καὶ ἀνάξιοι δοῦλοί σου, οἱ καταξιωθέντες λειτουργεῖν τῷ ἁγίῳ

σου θυσιαστηρίῳ, οὐ διὰ τὰς δικαιοσύνας ἡμῶν· οὐ γὰρ ἐποιήσαμέν τι ἀγαθὸν ἐπὶ τῆς γῆς· ἀλλὰ διὰ τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου, οὓς ἐξέχεας πλουσίως ἐφ' ἡμᾶς, θαρροῦντες προσεγγίζομεν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ προσθέντες τὰ ἀντίτυπα τοῦ ἁγίου σώματος καὶ αἵματος τοῦ χριστοῦ σου, σοῦ δεόμεθα, καὶ σὲ παρακαλοῦμεν ἅγιε ἁγίων, εὐδοκίᾳ τῆς σῆς ἀγαθότητος, ἐλθεῖν τὸ πνεῦμά σου τὸ ἅγιον ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα, καὶ εὐλογῆσαι αὐτά, καὶ ἁγιάσαι, καὶ ἀναδεῖξαι·

Ὁ διάκονος ἀποτίθησι τὸ ῥιπίδιον, ὅπερ ἐκράτει, ἢ κάλυμμα, καὶ ἔρχεται ἐγγύτερον τοῦ ἱερέως, καὶ προσκυνοῦσιν ἀμφότεροι τρὶς ἔμπροσθεν τῆς ἁγίας τραπέζης, καὶ εὐχόμενοι καθ' ἑαυτοὺς τό,

Ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ,

Λέγουσι μυστικῶς τρίς.

Κύριε ὁ τὸ πανάγιον πνεῦμα ἐν τῇ τρίτῃ ὥρᾳ τοῖς ἀποστόλοις καταπέμψας, τοῦτο ἀγαθὲ μὴ ἀντανέλῃς ἀφ' ἡμῶν. Καὶ τό,

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Εἶτα τὴν κεφαλὴν ὑποκλίνας ὁ διάκονος, δείκνυσι τῷ ὠραρίῳ τὸν ἅγιον ἄρτον, καὶ λέγει μυστικῶς.

Εὐλόγησον δέσποτα τὸν ἅγιον ἄρτον.

Καὶ ὁ ἱερεὺς ἀνιστάμενος, σφραγίζει τρὶς τὰ ἅγια δῶρα, λέγων μυστικῶς.

Τὸν μὲν ἄρτον τοῦτον, αὐτὸ τὸ τίμιον σῶμα τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ.

Ὁ διάκονος. Ἀμήν.

Καὶ αὖθις ὁ διάκονος.

Εὐλόγησον δέσποτα τὸ ἅγιον ποτήριον.

Ὁ δὲ ἱερεὺς εὐλογῶν λέγει.

Τὸ δὲ

Τὸ δὲ ποτήριον τοῦτο, αὐτὸ τὸ τίμιον αἷμα τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ·

Ὁ διάκονος. Ἀμήν.

Ὁ ἱερεύς. Τὸ ἐκχυθὲν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς.

Ὁ διάκονος. Ἀμήν.

Καὶ αὖθις ὁ διάκονος δεικνύων μετὰ τοῦ ὠραρίου τὰ ἅγια ἄμφω, λέγει.

Εὐλόγησον δέσποτα.

Ὁ δὲ ἱερεὺς εὐλογῶν μετὰ τῆς χειρὸς ἀμφότερα τὰ ἅγια, λέγει.

Μεταβαλὼν τῷ πνεύματί σου τῷ ἁγίῳ.

Ὁ διάκονος. Ἀμήν. τρεῖς.

Καὶ τὴν κεφαλὴν ὁ διάκονος ὑποκλίνας τῷ ἱερεῖ, καὶ εἰπὼν τό,

Μνήσθητί μου ἅγιε δέσποτα τοῦ ἁμαρτωλοῦ,

Μεθίσταται ἐν ᾧ πρότερον ἵστατο τόπῳ, λαβὼν καὶ τὸ ῥιπίδιον αὖθις ὡς πρότερον. ὁ δὲ ἱερεὺς ἐπεύχεται μυστικῶς.

Ἡμᾶς δὲ πάντας τοὺς ἐκ τοῦ ἑνὸς ἄρτου καὶ τοῦ ποτηρίου μετέχοντας, ἑνώσαι ἀλλήλοις εἰς ἑνὸς πνεύματος ἁγίου κοινωνίαν, καὶ μηδένα ἡμῶν εἰς κρίμα ἢ εἰς κατάκριμα ποιῆσαι μετασχεῖν τοῦ ἁγίου σώματος καὶ αἵματος τοῦ χριστοῦ σου· ἀλλ᾽ ἵνα εὕρωμεν ἔλεον καὶ χάριν μετὰ πάντων τῶν ἁγίων τῶν ἀπ᾽ αἰῶνός σοι εὐαρεστησάντων, προπατόρων, πατέρων, πατριαρχῶν, προφητῶν, ἀποστόλων, κηρύκων, εὐαγγελιστῶν, μαρτύρων, ὁμολογητῶν, διδασκάλων, καὶ παντὸς πνεύματος δικαίου, ἐν πίστει τετελειωμένου.

Ἐκφώνως.

Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

Ὁ χορὸς ψάλλει τό,

Ἐπὶ σοὶ χαίρει.

Εἶτα ὁ ἱερεὺς μεγαλοφώνως, λέγει.

Τοῦ δείπνου σου τοῦ μυστικοῦ σήμερον υἱὲ θεοῦ κοινωνόν με

Καὶ

παρέλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω, οὐ φίλημά σοι δώσω καθάπερ ὁ Ἰούδας, ἀλλ' ὡς ὁ λῃστὴς ὁμολογῶ σοι, μνήσθητί μου κύριε ἐν τῇ βασιλείᾳ σου.

Εἰ δὲ ἐστὶ τὸ μέγα σάββατον, ψάλλει.

Σιγησάτω πᾶσα σὰρξ βροτεία, καὶ στήτω μετὰ φόβου καὶ τρόμου, καὶ μηδὲν γήϊνον ἐν ἑαυτοῖς λογιζέσθω· ὁ γὰρ βασιλεὺς τῶν βασιλευόντων, καὶ κύριος τῶν κυριευόντων, προέρχεται σφαγιασθῆναι τοῖς πιστοῖς· προηγοῦνται δὲ τούτου οἱ χοροὶ τῶν ἀγγέλων μετὰ πάσης ἀρχῆς καὶ ἐξουσίας, τὰ πολυόμματα χερουβὶμ, καὶ τὰ ἑξαπτέρυγα σεραφὶμ, τὰς ὄψεις καλύπτοντα, καὶ βοῶντα τὸν ὕμνον, ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Ὁ διάκονος θυμιᾷ γύρωθεν τὴν ἁγίαν τράπεζαν καὶ τὰ δίπτυχα, τῶν τε ζώντων καὶ κεκοιμημένων ὧν βούλεται μνημονεύει.

Ὁ δὲ ἱερεὺς εὔχεται μυστικῶς.

Τοῦ ἁγίου Ἰωάννου τοῦ προφήτου προδρόμου καὶ βαπτιστοῦ, τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων, τοῦ ἁγίου τοῦδε, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν· καὶ πάντων τῶν ἁγίων σου, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ θεὸς, καὶ μνήσθητι πάντων τῶν προκεκοιμημένων ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου.

Ἐνταῦθα ὁ ἱερεὺς μνημονεύει ὧν θέλει, ζώντων καὶ τεθνεότων· καὶ ὑπὲρ μὲν ζώντων, λέγει.

Ὑπὲρ σωτηρίας, ἐπισκέψεως, ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ δούλου τοῦ θεοῦ ... ὁ δεῖνος.

Ὑπὲρ δὲ τεθνεότων, λέγει.

Ὑπὲρ ἀναπαύσεως καὶ ἀφέσεως τῆς ψυχῆς τοῦ δούλου σου ὁ δεῖνος.

Ἐν τόπῳ φωτεινῷ ἔνθα ἀπέδρα λύπη καὶ στεναγμὸς, ἀνάπαυσον αὐτοὺς ὁ θεὸς ἡμῶν. ... Μυστικῶς τὴν εὐχήν.

Καὶ

Καὶ ἀνάπαυσον αὐτοὺς ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου. Ἔτι σοῦ δεόμεθα, μνήσθητι κύριε τῆς ἁγίας σου καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, τῆς ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης, καὶ εἰρήνευσον αὐτὴν, ἣν περιεποιήσω τῷ τιμίῳ αἵματι τοῦ χριστοῦ σου, καὶ τὸν ἅγιον οἶκον τοῦτον στερέωσον μέχρι τῆς συντελείας τοῦ αἰῶνος. Μνήσθητι κύριε τῶν τὰ δῶρά σοι ταῦτα προσκομισάντων, καὶ ὑπὲρ ὧν, καὶ δι' ὧν, καὶ ἐφ' οἷς αὐτὰ προσεκόμισαν. Μνήσθητι κύριε τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ἐκκλησίαις, καὶ μεμνημένων τῶν πενήτων· ἄμειψαι αὐτοὺς τοῖς πλουσίοις σου καὶ ἐπουρανίοις χαρίσμασι· χάρισαι αὐτοῖς ἀντὶ τῶν ἐπιγείων τὰ ἐπουράνια, ἀντὶ τῶν προσκαίρων τὰ αἰώνια, ἀντὶ τῶν φθαρτῶν τὰ ἄφθαρτα. Μνήσθητι κύριε τῶν ἐν ἐρημίαις, καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς.

Μνήσθητι κύριε τῶν ἐν παρθενίᾳ, καὶ εὐλαβείᾳ, καὶ ἀσκήσει, καὶ σεμνῇ πολιτείᾳ διαγόντων. Μνήσθητι κύριε τῶν εὐσεβεστάτων καὶ πιστοτάτων ἡμῶν βασιλέων, οὓς ἐδικαίωσας βασιλεύειν ἐπὶ τῆς γῆς· ὅπλῳ ἀληθείας, ὅπλῳ εὐδοκίας στεφάνωσον αὐτούς· ἐπισκίασον ἐπὶ τὴν κεφαλὴν αὐτῶν ἐν ἡμέρᾳ πολέμου· ἐνίσχυσον αὐτῶν τὸν βραχίονα, ὕψωσον αὐτῶν τὴν δεξιὰν, κράτυνον αὐτῶν τὴν βασιλείαν, ὑπόταξον αὐτοῖς πάντα τὰ βάρβαρα ἔθνη τὰ τοὺς πολέμους θέλοντα· χάρισαι αὐτοῖς βαθεῖαν καὶ ἀναφαίρετον εἰρήνην· λάλησον εἰς τὴν καρδίαν αὐτῶν ἀγαθὰ ὑπὲρ τῆς ἐκκλησίας σου καὶ παντὸς τοῦ λαοῦ σου, ἵνα ἐν τῇ γαλήνῃ αὐτῶν ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. Μνήσθητι κύριε πάσης ἀρχῆς καὶ ἐξουσίας, καὶ τῶν ἐν παλατίῳ ἀδελφῶν ἡμῶν, καὶ παντὸς τοῦ στρατοπέδου· τοὺς ἀγαθοὺς ἐν τῇ ἀγα-

θότητι διατήρησον· τοὺς πονηρούς, ἀγαθοὺς ποίησον ἐν τῇ χρηστότητί σου. Μνήσθητι κύριε τοῦ περιεστῶτος λαοῦ, καὶ τῶν δι᾽ εὐλόγους αἰτίας ἀπολειφθέντων, καὶ ἐλέησον αὐτοὺς καὶ ἡμᾶς, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου· τὰ ταμεῖα αὐτῶν ἔμπλησον παντὸς ἀγαθοῦ, τὰς συζυγίας αὐτῶν ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ διατήρησον· τὰ νήπια ἔκθρεψον, τὴν νεότητα παιδαγώγησον, τὸ γῆρας περικράτησον· τοὺς ὀλιγοψύχους παραμύθησαι, τοὺς ἐσκορπισμένους ἐπισυνάγαγε, τοὺς πεπλανημένους ἐπανάγαγε καὶ σύναψον τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ· τοὺς ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρτων, ἐλευθέρωσον· τοῖς πλέουσι σύμπλευσον, τοῖς ὁδοιποροῦσι συνόδευσον· χηρῶν προΐστηθι, ὀρφανῶν ὑπεράσπισον, αἰχμαλώτους ῥῦσαι, νοσοῦντας ἴασαι, τῶν ἐν βήματι καὶ μετάλλοις καὶ ἐξορίαις καὶ πάσῃ θλίψει καὶ ἀνάγκῃ καὶ περιστάσει ὄντων μνημόνευσον ὁ θεός, καὶ πάντων τῶν δεομένων τῆς μεγάλης σου εὐσπλαγχνίας, καὶ τῶν ἀγαπώντων ἡμᾶς, καὶ τῶν μισούντων, καὶ τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν. καὶ παντὸς τοῦ λαοῦ σου μνήσθητι κύριε ὁ θεὸς ἡμῶν, καὶ ἐπὶ πάντας ἔκχεον τὸ πλούσιόν σου ἔλεος, πᾶσι παρέχων τὰ πρὸς σωτηρίαν αἰτήματα· καὶ ὧν ἡμεῖς οὐκ ἐμνημονεύσαμεν δι᾽ ἄγνοιαν, ἢ λήθην, ἢ πλῆθος ὀνομάτων, αὐτὸς μνημόνευσον ὁ θεός, ὁ εἰδὼς ἑκάστου τὴν ἡλικίαν, καὶ τὴν προσηγορίαν, ὁ εἰδὼς ἕκαστον ἐκ κοιλίας μητρὸς αὐτοῦ· σὺ γὰρ εἶ κύριε ἡ βοήθεια τῶν ἀβοηθήτων, ἡ ἐλπὶς τῶν ἀπελπισμένων, ὁ τῶν χειμαζομένων σωτήρ, ὁ τῶν πλεόντων λιμήν, ὁ τῶν νοσούντων ἰατρός· αὐτὸς τοῖς πᾶσι τὰ πάντα γενοῦ, ὁ εἰδὼς ἕκαστον καὶ τὸ αἴτημα αὐτοῦ, οἶκον καὶ τὴν χρείαν αὐτοῦ· ῥῦσαι κύριε τὴν πόλιν ταύτην, καὶ πᾶσαν πόλιν καὶ χώραν, ἀπὸ λιμοῦ, λοιμοῦ, σεισμοῦ, καταποντι-

σμοῦ,

σμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, καὶ ἐμφυλίου πολέμου.

Ὁ μὲν διάκονος ἐπιστρέφει πρὸς τὴν θύραν τοῦ ἁγίου βήματος, κρατῶν τὸ ὠράριον ἄκροις τοῖς δακτύλοις, καὶ λέγει.

Καὶ πάντων καὶ πασῶν.

Ὁ δὲ χορὸς ψάλλει.

Καὶ πάντων καὶ πασῶν.

Ὁ δὲ ἱερεὺς ἐκφωνεῖ.

Ἐν πρώτοις μνήσθητι κύριε τοῦ ἀρχιεπισκόπου ἡμῶν, τοῦδε· ὃν χάρισαι ταῖς ἁγίαις σου ἐκκλησίαις ἐν εἰρήνῃ σῶον, ἔντιμον, ὑγιῆ, μακροημερεύοντα, ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.

Καὶ ὁ διάκονος λέγει πρὸς τῇ θύρᾳ στάς, Τοῦ, *ὁ δεῖνος,* πανιερωτάτου μητροπολίτου, ἢ ἐπισκόπου, *ὅστις ἂν ᾖ.*

Καὶ ὑπὲρ τοῦ προσκομίζοντος τὰ ἅγια δῶρα ταῦτα εὐλαβεστάτου ἱερέως, *ὁ δεῖνος.*

Καὶ ὑπὲρ σωτηρίας τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν. Καὶ πάντων καὶ πασῶν.

Καὶ ὁ χορὸς ψάλλει.

Καὶ πάντων καὶ πασῶν.

Ὁ δὲ ἱερεὺς ἐπεύχεται μυστικῶς.

Μνήσθητι κύριε πάσης ἐπισκοπῆς ὀρθοδόξων, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας. Μνήσθητι κύριε κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, καὶ τῆς ἐμῆς ἀναξιότητος· συγχώρησόν μοι πᾶν πλημμέλημα, ἑκούσιόν τε καὶ ἀκούσιον, καὶ μὴ διὰ τὰς ἐμὰς ἁμαρτίας κωλύσῃς τὴν χάριν τοῦ ἁγίου σου πνεύματος, ἀπὸ τῶν προκειμένων δώρων.

Μνήσθητι κύριε τοῦ πρεσβυτερίου τῆς ἐν χριστῷ διακονίας, καὶ παντὸς ἱερατικοῦ τάγματος· καὶ μηδένα ἡμῶν καταισχύνῃς τῶν κυκλούντων τὸ ἅγιόν σου θυσιαστήριον.

ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου κύριε, ἐπιφάνηθι ἡμῖν ἐν τοῖς πλουσίοις σου οἰκτιρμοῖς· εὐκράτους καὶ ἐπωφελεῖς τοὺς ἀέρας ἡμῖν χάρισαι· ὄμβρους τῇ γῇ πρὸς καρποφορίαν δώρησαι· εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου· παῦσον τὰ σχίσματα τῶν ἐκκλησιῶν· σβέσον τὰ φρυάγματα τῶν ἐθνῶν, τὰς τῶν αἱρέσεων ἐπαναστάσεις ταχέως κατάλυσον, τῇ δυνάμει τοῦ ἁγίου σου πνεύματος· πάντας ἡμᾶς προσδέξαι εἰς τὴν βασιλείαν σου, υἱοὺς φωτὸς καὶ υἱοὺς ἡμέρας ἀναδείξας· τὴν σὴν εἰρήνην καὶ τὴν σὴν ἀγάπην χάρισαι ἡμῖν κύριε ὁ θεὸς ἡμῶν· πάντα γὰρ ἀπέδωκας ἡμῖν.

Ἐκφώνως ὁ ἱερεύς.

Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζειν καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός. Ἀμήν.

Ὁ ἱερεὺς ἐπιστρέφει πρὸς τὴν θύραν, καὶ εὐλογῶν λέγει ἐκφώνως.

Καὶ ἔσται τὰ ἐλέη τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ μετὰ πάντων ἡμῶν.

Καὶ ὁ διάκονος ἐξέρχεται εἰ ἔστιν, εἴτ' οὖν ὁ ἱερεύς· καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει.

Πάντων τῶν ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι τοῦ κυρίου δεηθῶμεν.

Ὁ χορός. Κύριε ἐλέησον.

Καὶ τὰ λοιπὰ ὡς ἐν τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ.

Ὑπὲρ τῶν προσκομισθέντων. Ὅπως ὁ φιλάνθρωπος θεὸς ἡμῶν. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς.

Ὁ ἱερεὺς ἐπεύχεται μυστικῶς.

Ὁ θεὸς ἡμῶν, ὁ θεὸς τοῦ σώζειν, σὺ ἡμᾶς δίδαξον εὐχαρι-

στεῖν σοι ἀξίως τῶν εὐεργεσιῶν σου, ὧν ἐποίησας καὶ ποιεῖς μεθ' ἡμῶν. σὺ ὁ θεὸς ἡμῶν, ὁ προσδεξάμενος τὰ δῶρα ταῦτα, καθάρισον ἡμᾶς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, καὶ δίδαξον ἁγιωσύνην ἐπιτελεῖν ἐν φόβῳ σου, ἵνα ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν ὑποδεχόμενοι τὴν μερίδα τῶν ἁγιασμάτων σου, ἑνωθῶμεν τῷ ἁγίῳ σώματι καὶ αἵματι τοῦ χριστοῦ σου, καὶ ὑποδεξάμενοι αὐτὰ ἀξίως, σχῶμεν τὸν χριστὸν κατοικοῦντα ἐν ταῖς καρδίαις ἡμῶν, καὶ γενώμεθα ναὸς τοῦ ἁγίου σου πνεύματος. ναὶ ὁ θεὸς ἡμῶν, καὶ μηδένα ἡμῶν ἔνοχον ποιήσῃς τῶν φρικτῶν σου τούτων καὶ ἐπουρανίων μυστηρίων, μηδὲ ἀσθενῆ ψυχῇ καὶ σώματι, ἐκ τοῦ ἀναξίως τούτων μεταλαμβάνειν· ἀλλὰ δὸς ἡμῖν μέχρι τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς, ἀξίως ὑποδέχεσθαι τὴν ἐλπίδα τῶν ἁγιασμάτων σου, εἰς ἐφόδιον ζωῆς αἰωνίου, εἰς ἀπολογίαν εὐπρόσδεκτον τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ χριστοῦ σου, ὅπως ἂν καὶ ἡμεῖς μετὰ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων, γενώμεθα μέτοχοι τῶν αἰωνίων σου ἀγαθῶν, ὧν ἡτοίμασας τοῖς ἀγαπῶσί σε κύριε.

Ο διάκονος εἰ ἔστι, τὰ εἰρηνικὰ, ὡς καὶ ἐν τῇ τοῦ Χρυσοστόμου.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον. Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικήν. Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγὸν, φύλακα. Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ τῶν. Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν. Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν. Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν. Τὴν ἑνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν.

Ἐκφώνως ὁ ἱερεύς.

Καὶ καταξίωσον ἡμᾶς δέσποτα μετὰ παρρησίας ἀκατακρίτως τολμᾶν ἐπικαλεῖσθαί σε τὸν ἐπουράνιον θεὸν

πατέρα καὶ λέγειν. Ὁ χορὸς δέ, Πάτερ ἡμῶν.

Ἐκφώνως ὁ ἱερεύς.

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός. Ἀμήν.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ χορός. Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ διάκονος.

Τὰς κεφαλὰς ἡμῶν τῷ κυρίῳ κλίνωμεν.

Κλίνας γοῦν ὁ διάκονος μικρὸν τὴν κεφαλήν, καὶ ὁρῶν τὸν ἱερέα προσκυνοῦντα, προσκυνεῖ καὶ αὐτός.

Ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται μυστικῶς.

Δέσποτα κύριε, ὁ πατὴρ τῶν οἰκτιρμῶν, καὶ θεὸς πάσης παρακλήσεως, τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλάς, εὐλόγησον, ἁγίασον, φρούρησον, ὀχύρωσον, ἐνδυνάμωσον, ἀπὸ παντὸς ἔργου πονηροῦ ἀπόστησον· παντὶ δὲ ἔργῳ ἀγαθῷ σύναψον, καὶ καταξίωσον ἀκατακρίτως μετέχειν τῶν ἀχράντων τούτων καὶ ζωοποιῶν μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς πνεύματος ἁγίου κοινωνίαν.

Ἐκφώνως ὁ ἱερεύς.

Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός. Ἀμήν.

Ὁ ἱερεὺς ἐπεύχεται μυστικῶς.

Πρόσχες κύριε Ἰησοῦ Χριστὲ ὁ θεὸς ἡμῶν ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου, καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς ὁ ἄνω τῷ πατρὶ συγκαθήμενος,

μένος, καὶ ὧδε ἡμῖν ἀοράτως συνών· καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου σώματός σου, καὶ τοῦ τιμίου αἵματος, καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ.

Καὶ ταῦθ' ὅ,τι ἱερεὺς καὶ ὁ διάκονος τὰ αὐτὰ καὶ λέγουσι καὶ ποιοῦσι τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ.

Ὁ διάκονος ἐκφωνεῖ. Πρόσχωμεν.

Καὶ ὁ ἱερεύς. Τὰ ἅγια τοῖς ἁγίοις.

Καὶ ὁ χορός.

Εἷς ἅγιος, εἷς κύριος Ἰησοῦς χριστὸς εἰς δόξαν θεοῦ πατρός, Ἀμήν.

Καὶ ἐνταῦθα καὶ ὁ χορὸς τὸ αὐτὸ ψάλλει τῇ τοῦ Χρυσοστόμου ἱερουργίᾳ· καὶ ὁ ἱερεὺς καὶ ὁ διάκονος, καὶ ἐν τῇ ζέσει, καὶ ἐν τῷ μελισμῷ, καὶ ἐν τῇ κοινωνίᾳ, καὶ ἐν ταῖς εὐχαῖς, καὶ θρησκείαις ταὐτὰ καὶ λέγουσι καὶ ποιοῦσι τῇ τοῦ Χρυσοστόμου. Ὁ ἱερεὺς ἐπεύχεται μυστικῶς.

Εὐχαριστοῦμέν σοι κύριε ὁ θεὸς ἡμῶν, ἐπὶ τῇ μεταλήψει τῶν ἁγίων, ἀχράντων καὶ ἐπουρανίων σου μυστηρίων, ἃ ἔδωκας ἡμῖν ἐπὶ εὐεργεσίᾳ καὶ ἁγιασμῷ καὶ ἰάσει τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν· αὐτὸς δέσποτα τῶν ἁπάντων δὸς γενέσθαι ἡμῖν τὴν κοινωνίαν τοῦ ἁγίου σώματος καὶ αἵματος τοῦ χριστοῦ σου, εἰς πίστιν ἀκαταίσχυντον, εἰς ἀγάπην ἀνυπόκριτον, εἰς πλησμονὴν σοφίας, εἰς ἴασιν ψυχῆς καὶ σώματος, εἰς ἀποτροπὴν παντὸς ἐναντίου, εἰς περιποίησιν τῶν ἐντολῶν σου, ~~εἰς ἀπολογίαν εὐπρόσδεκτον~~ τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ χριστοῦ σου.

Ὁ διάκ. ἐν τῷ συνήθει τόπῳ στάς, λέγει.

Ὀρθοί, μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων καὶ ζωοποιῶν μυστηρίων, ἀξίως εὐχαριστήσωμεν τῷ κυρίῳ.

Ὁ χορός. Κύριε ἐλέησον.

Ὁ διάκονος. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον.

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικήν.

Ἐκφώνως ὁ ἱερεύς.

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός. Ἀμήν.

Ὁ διάκονος. Ἐν εἰρήνῃ προέλθωμεν.

Καὶ αὖθις. Τοῦ κυρίου δεηθῶμεν.

Εὐχὴ ὀπισθάμβωνος, ἐκφωνουμένη παρὰ τοῦ ἱερέως ἔξω τοῦ βήματος.

Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε κύριε, καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς ἐκκλησίας σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ. εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς βασιλεῦσιν ἡμῶν, τῷ στρατῷ καὶ παντὶ τῷ λαῷ σου· ὅτι πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι, καταβαῖνον ἐκ σοῦ τοῦ πατρὸς τῶν φώτων· καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χορός. Ἀμήν.

Ὁ χορὸς ψάλλει τό,

Εἴη τὸ ὄνομα κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. τρίς.

Καὶ τὸν ψαλμόν.

Εὐλογήσω τὸν κύριον. ἢ τοῦ ἁγίου τῆς ἡμέρας.

Εὐχὴ ἐν τῷ συστεῖλαι τὰ ἅγια μυστικῶς.

Ἤνυσται καὶ τετέλεσται, ὅσον εἰς τὴν ἡμετέραν δύναμιν, χριστὲ ὁ θεὸς ἡμῶν, τὸ τῆς σῆς οἰκονομίας μυστήριον· ἔσχο-

μεν

μεν γὰρ τοῦ θανάτου σου τὴν μνήμην, εἴδομεν τῆς ἀναστάσεώς σου τὸν τύπον· ἐνεπλήσθημεν τῆς ἀτελευτήτου σου ζωῆς· ἀπηλαύσαμεν τῆς ἀκενώτου σου τρυφῆς, ἧς καὶ ἐν τῷ μέλλοντι αἰῶνι πάντας ἡμᾶς καταξιωθῆναι εὐδόκησον, χάριτι τοῦ ἀνάρχου σου πατρὸς καὶ τοῦ ἁγίου καὶ ἀγαθοῦ καὶ ζωοποιοῦ πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετὰ τὴν εὐχὴν ἐξέρχεται ὁ ἱερεὺς, καὶ δίδωσι τὸ ἀντίδωρον· καὶ λέγει καὶ ποιεῖ καὶ ταῦτα ἅπερ καὶ ἐν τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ.

ΔΙΑΤΑΞΙΣ ΤΗΣ ΘΕΙΑΣ ΙΕΡΟΥΡΓΙΑΣ, ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

ΜΕΛΛΩΝ Ο ΙΕΡΕΥΣ ΤΗΝ ΘΕΙΑΝ ἐπιτελεῖν μυσταγωγίαν, ὀφείλει εἶναι προηγουμένως ἐξωμολογημένος, καὶ μετὰ πάντων κατηλλαγμένος, καὶ τὴν καρδίαν ὅση δύναμις, καθαρὰν τετηρηκὼς ἀπὸ πονηρῶν λογισμῶν, ἐγκρατεύσας τε ἀφ᾽ ἑσπέρας, καὶ ἐγρηγορηκὼς μέχρι τοῦ τῆς ἱερουργίας καιροῦ· τοῦ δὲ καιροῦ ἐπιστάντος, μετὰ τὸ ποιῆσαι τὴν συνήθη τῷ προεστῶτι μετάνοιαν, εἰσέρχεται ἐν τῷ ναῷ, καὶ ἑνωθεὶς τῷ διακόνῳ, ποιοῦσιν ὁμοῦ πρὸς ἀνατολὰς προσκυνήματα τρία, ἔμπροσθεν τῆς εἰκόνος τοῦ σωτῆρος καὶ τῆς ὑπεραγίας θεοτόκου, καὶ εἰς τοὺς δύο χοροὺς ἀνὰ ἕν. ὅτε δὲ προσκυνοῦσι, λέγουσι μυστικῶς τὴν εὐχὴν ταύτην.

ΚΥΡΙΕ ὁ θεὸς ἡμῶν ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἐνίσχυσόν με εἰς τὴν προκειμένην διακονίαν σου, ἵνα ἀκατακρίτως παραστὰς τῷ φοβερῷ σου βήματι, τὴν ἀναίμακτον ἱερουργίαν ἐπιτελέσω· ὅτι σοῦ ἐστιν ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐλθόντες δὲ εἰς τὸ ἱερατεῖον, λαμβάνουσιν ἕκαστος ἐν ταῖς χερσὶν αὐτῶν τὸ στιχάριον ἑαυτῶν, καὶ ποιοῦσι προσκυνήματα τρία κατὰ ἀνατολάς, λέγοντες καθ᾽ ἑαυτοὺς τό,

Ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.

Εἶτα ὁ διάκονος προσέρχεται τῷ ἱερεῖ, ὑποκλίνας τὴν κεφαλήν, κρατῶν καὶ ἐν τῇ χειρὶ τῇ δεξιᾷ τὸ στιχάριον σὺν τῷ ὠραρίῳ, λέγων.

Εὐλόγησον δέσποτα τὸ στιχάριον σὺν τῷ ὠραρίῳ.

Ὁ δὲ ἱερεὺς εὐλογῶν μετὰ τῆς χειρὸς, λέγει.

Εὐλογητὸς ὁ θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ὑποχωρεῖ ὁ διάκονος καθ᾽ ἑαυτὸν εἰς ἓν μέρος τοῦ ἱερατείου, καὶ ἐνδύεται τὸ στιχάριον, εὐχόμενος οὕτως.

Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ κυρίῳ· ἐνέδυσέ με γὰρ ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης περιέβαλέ με, καὶ ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν, καὶ ὡς νύμφην περιέθηκέ με κόσμῳ.

Καὶ τὸ μὲν ὠράριον ἀσπασάμενος, ἐπιτίθησι τῷ ἀριστερῷ ὤμῳ. ὁ δὲ ἱερεὺς λαβὼν καὶ αὐτὸς τὸ στιχάριον, εὐλογεῖ αὐτό, καὶ ἀσπασάμενος, ἐνδύεται, λέγων καθ᾽ ἑαυτὸν τὸν ψαλμὸν τὸν προειρημένον ῥηθέντα, ὅμοιον τῷ διακόνῳ. καὶ λαβὼν ὁ ἱερεὺς τὰ ἐπιμανίκια, ἐν μὲν τῇ δεξιᾷ χειρὶ, λέγει οὕτως.

Ἡ δεξιά σου χεὶρ κύριε δεδόξασται ἐν ἰσχύει· ἡ δεξιά σου κύριε ἔθραυσεν ἐχθρούς, καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους. ἡ δεξιὰ κυρίου ἐποίησε δύναμιν.

Ἐν δὲ τῇ ἀριστερᾷ χειρὶ, λέγει οὕτως.

Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με.

Εἶτα λαβὼν τὸ ἐπιτραχήλιον, καὶ εὐλογήσας, ἀσπάζεται· καὶ τιθέμενος ἐπὶ τοῦ τραχήλου αὐτοῦ, λέγει.

Εὐλογητὸς ὁ θεὸς ὁ ἐκχέων τὴν χάριν αὐτοῦ ἐπὶ τοὺς ἱερεῖς αὐτοῦ, ὡς μύρον ἐπὶ κεφαλῆς, τὸ καταβαῖνον ἐπὶ πώγωνα τὸν πώγωνα τὸν Ἀαρὼν, τὸ καταβαῖνον ἐπὶ τὴν ᾤαν τοῦ ἐνδύματος αὐτοῦ, ὡς δρόσος Ἀερμὼν, ἡ καταβαίνου-

βαίνουσα ἐπὶ τὰ ὄρη Σιών, ὅτι ἐκεῖ ἐνετείλατο κύριος τὴν εὐλογίαν, ζωὴν ἕως τοῦ αἰῶνος.

Καὶ λαβὼν τὴν ζώνην, καὶ εὐλογήσας ἀσπάζεται, καὶ λέγει.

Εὐλογητὸς ὁ θεὸς ὁ περιζωννύων με δύναμιν, καὶ ἐκχέων τὴν χάριν αὐτοῦ, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα τὸ ἐπιγονάτιον λαβών, εἰ ἐστὶ πρωτοσύγκελος τῆς μεγάλης ἐκκλησίας, ἢ ἄλλος τὶς ἔχων ἀξιότητά τινα, καὶ εὐλογήσας αὐτὸ καὶ ἀσπασάμενος λέγει.

Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου δυνατὲ τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου, καὶ ἔντεινε, καὶ κατευοδοῦ, καὶ βασίλευε ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης· καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λαβὼν τὸ φαιλόνιον, καὶ εὐλογήσας ἀσπάζεται, καὶ λέγει.

Οἱ ἱερεῖς σου κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ἀπελθόντες εἰς τὴν πρόθεσιν, νίπτουσι τὰς χεῖρας, λέγοντες.

Νίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου, καὶ κυκλώσω τὸ θυσιαστήριόν σου κύριε, τοῦ ἀκοῦσαί με φωνῆς αἰνέσεώς σου, καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου· κύριε ἠγάπησα εὐπρέπειαν οἴκου σου, καὶ τόπον σκηνώματος δόξης σου· μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου, καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου, ὧν ἐν χερσὶν αἱ ἀνομίαι· ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων· ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην· λύτρωσαί με κύριε, καὶ ἐλέησόν με· ὁ πούς μου ἔστη ἐν εὐθύτητι· ἐν ἐκκλησίαις εὐλογήσω σε κύριε.

Ὁ δὲ διάκονος εὐτρεπίζει τὰ ἱερά, τὸν μὲν ἅγιον δίσκον ἐν τῷ μέρει τῷ ἀριστερῷ. τὸ δὲ ποτήριον ἐν τῷ δεξιῷ, καὶ τὰ ἄλλα σὺν αὐτοῖς. εἶτα

προσκυνήματα τρία ἔμπροσθεν τῆς προθέσεως ποιήσαντες, λέγουσιν ἕκαστος τό,

Ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με. καὶ τό, Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου τῷ τιμίῳ σου αἵματι, τῷ σταυρῷ προσηλωθεὶς, καὶ τῇ λόγχῃ κεντηθεὶς, τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις, σωτὴρ ἡμῶν· δόξα σοι. Εἶτα λέγει ὁ διάκονος. Εὐλόγησον δέσποτα.

Καὶ ποιεῖ ὁ ἱερεὺς εὐλογητόν.

Εὐλογητὸς ὁ θεὸς ἡμῶν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λαμβάνει ὁ ἱερεὺς, ἐν μὲν τῇ ἀριστερᾷ χειρὶ, τὴν προσφορὰν· ἐν δὲ τῇ δεξιᾷ, τὴν ἁγίαν λόγχην· καὶ σφραγίζων σὺν αὐτῇ ἐπάνω τῆς σφραγίδος τῆς προσφορᾶς, τρὶς λέγει.

Εἰς ἀνάμνησιν τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ.

Καὶ εὐθὺς πήγνυσι τὴν ἁγίαν λόγχην ἐν τῷ δεξιῷ μέρει τῆς σφραγίδος, καὶ ἀνατέμνων λέγει.

Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη.

Ἐν δὲ τῷ ἀριστερῷ ὁμοίως πηγνὺς τὴν ἁγίαν λόγχην, λέγει.

Καὶ ὡς ἀμνὸς ἄκακος ἐναντίον τοῦ κείροντος αὐτὸν, ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ.

Ἐν δὲ τῷ ἄνω μέρει τῆς σφραγίδος πηγνὺς τὴν ἁγίαν λόγχην, λέγει.

Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη.

Ἐν δὲ τῷ κάτω μέρει τῆς σφραγίδος πάλιν πηγνὺς τὴν ἁγίαν λόγχην, λέγει.

Τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται.

Ὁ δὲ διάκονος ἐν ἑκάστῃ ἀνατομῇ λέγει.

Τοῦ κυρίου δεηθῶμεν.

Κρατῶν δὲ τὸ ὠράριον αὐτοῦ ἐν τῇ δεξιᾷ, μετὰ ταῦτα λέγει ὁ διάκονος.

Ἔπαρον δέσποτα.

Καὶ ὁ ἱερεὺς ἐμβαλὼν τὴν ἁγίαν λόγχην ἐκ πλαγίου τοῦ δεξιοῦ μέρους τῆς προσφορᾶς, ἐπαίρει τὸν ἅγιον ἄρτον, λέγων οὕτως.

Ὅτι

Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ τιθεὶς αὐτὸν ὕπτιον ἐν τῷ ἁγίῳ δίσκῳ, εἰπόντος τοῦ διακόνου,

Θῦσον δέσποτα.

Ὁ ἱερεὺς θύει αὐτὸν σταυροειδῶς, λέγων.

Θύεται ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας.

Καὶ στρέφει ἐπὶ τὸ ἕτερον μέρος τὸ ἔχον ἐπάνω τὸν σταυρόν, καὶ λέγει ὁ διάκονος.

Νύξον δέσποτα.

Ὁ δὲ ἱερεὺς νύττων αὐτὸν ἐν τῷ δεξιῷ μέρει μετὰ τῆς ἁγίας λόγχης, λέγει.

Καὶ εἷς τῶν στρατιωτῶν λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἔνυξε, καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ.

Ὁ δὲ διάκονος ἐγχέει ἐν τῷ ἁγίῳ ποτηρίῳ ἐκ τοῦ νάματος καὶ ὕδατος, προτρέπων πρὸς τὸν ἱερέα εἰπών.

Εὐλόγησον δέσποτα τὴν ἕνωσιν ταύτην.

Καὶ ὁ ἱερεὺς εὐλογεῖ. Εἶτα λαβὼν ὁ ἱερεὺς τὴν δευτέραν προσφοράν, λέγει.

Εἰς τιμὴν καὶ μνήμην τῆς ὑπερευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἧς ταῖς πρεσβείαις πρόσδεξαι κύριε τὴν θυσίαν ταύτην εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον.

Καὶ αἴρων μερίδα μετὰ τῆς ἁγίας λόγχης, τίθησιν ἐξ ἀριστερῶν τοῦ ἁγίου ἄρτου. εἶτα λαβὼν τὴν τρίτην προσφοράν, λέγει.

Τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων τῶν ἐν ἁγίοις πατέρων ἡμῶν ἱεραρχῶν, Βασιλείου τοῦ μεγάλου, Γρηγορίου τοῦ θεολόγου, καὶ Ἰωάννου τοῦ χρυσοστόμου, Ἀθανασίου, Κυρίλλου, Νικολάου τοῦ ἐν μύροις, καὶ πάντων τῶν ἁγίων ἱεραρχῶν. Τοῦ ἁγίου ἀποστόλου

πρωτομάρτυρος καὶ ἀρχιδιακόνου, Στεφάνου· τῶν ἁγίων μεγάλων μαρτύρων, Γεωργίου, Δημητρίου, Θεοδώρου, καὶ πάντων τῶν ἁγίων μαρτύρων· τῶν ὁσίων θεοφόρων πατέρων ἡμῶν, Ἀντωνίου, Εὐθυμίου, Σάβα τοῦ ἡγιασμένου, Ὀνουφρίου, Ἀρσενίου, Ἀθανασίου τοῦ ἐν τῷ ἄθῳ, καὶ πάντων τῶν ὁσίων· τῶν ἁγίων καὶ ἰαματικῶν ἀναργύρων, Κοσμᾶ καὶ Δαμιανοῦ, Κύρου καὶ Ἰωάννου, Παντελεήμονος καὶ Ἑρμολάου, Σαμψὼν καὶ Διομήδους, Θαλλαλέου καὶ Τρύφωνος, καὶ τῶν λοιπῶν· τῶν ἁγίων δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ ἁγίου *ὁ δεῖνος, τοῦ κατὰ τὴν ἡμέραν δηλονότι.* καὶ πάντων τῶν ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ θεός.

Καὶ οὕτως αἴρων τὴν μερίδα, τίθησιν αὐτὴν ὑποκάτω ἐν τῷ ἀριστερῷ μέρει, εἶτα λαβὼν ἑτέραν προσφορὰν, λέγει.

Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν, *ὁ δεῖνος.*

τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν χριστῷ διακονίας, καὶ παντὸς ἱερατικοῦ τάγματος. Ὑπὲρ μνήμης καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν ἀειμνήστων κτιτόρων τῆς ἁγίας μονῆς ταύτης.

Ἐνταῦθα καὶ ζώντων καὶ τεθνεότων, ὧν ἐθέλει ὁ ἱερεὺς μνημονεύει ὀνομαστί.

Καὶ πάντων τῶν ἐπ᾽ ἐλπίδι ἀναστάσεως καὶ ζωῆς αἰωνίου τῇ σῇ κοινωνίᾳ κεκοιμημένων ὀρθοδόξων πατέρων καὶ ἀδελφῶν ἡμῶν, φιλάνθρωπε κύριε συγχώρησον.

Καὶ οὕτως αἴρων τὴν μερίδα, τίθησιν αὐτὴν ὑποκάτω ἐν τῷ ἀριστερῷ μέρει. εἶτα λαβὼν ὁ διάκονος τὸ θυμιατήριον καὶ τὸ θυμίαμα, λέγει πρὸς τὸν ἱερέα.

Εὐλόγησον δέσποτα τὸ θυμίαμα, καὶ τοῦ κυρίου δεηθῶμεν.

Καὶ ὁ ἱερεὺς λέγει τὴν εὐχήν.

Θυμίαμά σοι προσφέρομεν χριστὲ ὁ θεὸς εἰς ὀσμὴν εὐω-

εὐωδίας πνευματικῆς, ἣν προσδέξαι δέσποτα εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερόν σου θυσιαστήριον· καὶ ἀντικατάπεμψον ἡμῖν πλούσια τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου, καὶ δώρησαι ἡμῖν αὐτὰ τοῖς δούλοις σου τοῖς ἐπικαλουμένοις τὸ ὄνομά σου, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ο διάκονος. Τοῦ κυρίου δεηθῶμεν.

Καὶ ὁ ἱερεὺς θυμιάσας τὸν ἀστερίσκον, τίθησιν αὐτὸν ἐπάνω τοῦ ἄρτου, καὶ λέγει.

Καὶ ἐλθὼν ὁ ἀστὴρ ἔστη ἐπάνω οὗ ἦν τὸ παιδίον κείμενον, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ο διάκονος. Τοῦ κυρίου δεηθῶμεν.

Ο ἱερεὺς θυμιάσας τὸ πρῶτον κάλυμμα, σκεπάζει τὸν ἅγιον ἄρτον, καὶ λέγει.

Ὁ κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο κύριος δύναμιν καὶ περιεζώσατο· καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. τῷ οἴκῳ σου πρέπει ἁγίασμα κύριε εἰς μακρότητα ἡμερῶν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ο διάκονος.
Τοῦ κυρίου δεηθῶμεν. Κάλυψον δέσποτα.

Καὶ ὁ ἱερεὺς θυμιῶν τὸ δεύτερον κάλυμμα, καὶ σκεπάζων τὸ ἅγιον ποτήριον, λέγει.

Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή σου χριστέ, καὶ τῆς αἰνέσεώς σου πλήρης ἡ γῆ, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ο διάκονος.
Τοῦ κυρίου δεηθῶμεν. Σκέπασον δέσποτα.

Καὶ ὁ ἱερεὺς θυμιῶν τὸν ἀέρα, καὶ σκεπάζων ἀμφότερα, λέγει.

Σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ὁ θεὸς ἡμῶν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα δήσαντες ἀμφότεροι τὰς χεῖρας, καὶ προσκυνήσαντες εὐλαβῶς, λέγουσιν.

Εὐλογητὸς ὁ θεὸς ἡμῶν ὁ οὕτως εὐδοκήσας, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος ἐπὶ τῇ προθέσει τῶν τιμίων δώρων.

Τοῦ κυρίου δεηθῶμεν.

Ὁ ἱερεὺς τὴν εὐχὴν τῆς προθέσεως.

Ὁ θεὸς ὁ θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον τὴν τροφὴν τοῦ παντὸς κόσμου, τὸν κύριον ἡμῶν καὶ θεὸν Ἰησοῦν χριστὸν ἐξαποστείλας σωτῆρα καὶ λυτρωτὴν καὶ εὐεργέτην, εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς, αὐτὸς εὐλόγησον τὴν πρόθεσιν ταύτην, καὶ πρόσδεξαι αὐτὴν εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον· μνημόνευσον ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, τῶν προσενεγκάντων, καὶ δι' οὓς προσήγαγον, καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θείων σου μυστηρίων. Ἐκφώνως.

Ὅτι ἡγίασαι καὶ δεδόξασαι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ μετὰ τὴν εὐχὴν θυμιᾷ τὴν πρόθεσιν, καὶ ποιεῖ ἀπόλυσιν, λέγων.

Δόξα σοι χριστὲ ὁ θεὸς ἡ ἐλπὶς ἡμῶν. Ὁ διάκονος.

Δόξα πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ὁ ἱερεύς.

Χριστὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν, τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῇ δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, καὶ πάντων τῶν ἁγίων, ἐλεήσαι ἡμᾶς ὡς ἀγαθὸς θεὸς καὶ φιλάνθρωπος. Ὁ χορός. Ἀμήν.

Καὶ οὕτω λαβὼν ὁ διάκονος τὸ θυμιατήριον, ἀπέρχεται, καὶ θυμιᾷ τὴν ἁγίαν τράπεζαν κύκλῳ σταυροειδῶς, λέγων καθ' ἑαυτόν.

Ἐν

Ἐν τάφῳ σωματικῶς, ἐν ᾅδου δὲ μετὰ ψυχῆς, ὡς θεός· ἐν παραδείσῳ δὲ μετὰ λῃστοῦ, καὶ ἐν θρόνῳ ὑπῆρχες χριστὲ μετὰ πατρὸς καὶ πνεύματος, πάντα πληρῶν ὁ ἀπερίγραπτος.

Καὶ λέγει τὸν πεντηκοστὸν ψαλμόν. Ἐλέησόν με ὁ θεός.

Καὶ ἐν ᾧ θυμιάσας τό, τε ἱερατεῖον καὶ τὸν ναὸν ὅλον, εἰσέρχεται αὖθις εἰς τὸ ἅγιον βῆμα, καὶ θυμιάσας αὖθις τὴν ἁγίαν τράπεζαν καὶ τὸν ἱερέα, τὸ μὲν θυμιατήριον ἀποτίθησιν ἐν τῷ ἰδίῳ τόπῳ· αὐτὸς δὲ προσέρχεται τῷ ἱερεῖ. καὶ στάντες ὁμοῦ πρὸ τῆς ἁγίας τραπέζης, καὶ προσκυνοῦντες καθ' ἑαυτούς, καὶ εὐχόμενοι, λέγουσι τό,

Βασιλεῦ οὐράνιε παράκλητε τὸ πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν, καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ ἐνσκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον ἀγαθὲ τὰς ψυχὰς ἡμῶν. τό, Δόξα ἐν ὑψίστοις θεῷ καὶ ἐπὶ τῆς γῆς. δίς. καὶ τό, Κύριε τὰ χείλη μου ἀνοίξεις. καὶ τὰ ἑξῆς ἅπαξ.

Εἶτα ἀσπάζεται, ὁ μὲν ἱερεὺς, τὸ εὐαγγέλιον· ὁ δὲ διάκονος, τὴν ἁγίαν τράπεζαν. εἶτα ὁ διάκονος ὑποκλίνας τὴν κεφαλὴν τῷ ἱερεῖ, κρατῶν καὶ τὸ ὠράριον ἑαυτοῦ τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς χειρὸς λέγει.

Καιρὸς τοῦ ποιῆσαι τῷ κυρίῳ. δέσποτα εὐλόγησον.

Καὶ ὁ ἱερεὺς σφραγίζων αὐτόν, λέγει.

Εὐλογητὸς ὁ θεὸς ἡμῶν πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ὁ διάκονος. Εὖξαι ὑπὲρ ἐμοῦ δέσποτα. Ὁ ἱερεύς. Κατευθύναι κύριος τὰ διαβήματά σου. καὶ πάλιν ὁ διάκονος. Μνήσθητί μου δέσποτα. Ὁ δὲ ἱερεύς. Μνησθείη σου κύριος ὁ θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ὁ διάκονος. Ἀμήν. Ἀμήν. Ἀμήν.

Καὶ προσκυνήσαντες τρίς, λέγουσι καθ' ἑαυτούς.

Κύριε τὰ χείλη μου ἀνοίξεις. καὶ τὰ ἑξῆς.

Καὶ μετὰ τοῦτο ἐξέρχεται ὁ διάκονος τοῦ βήματος, καὶ προσκυνήσας τρίς, λέγει ἐκφώνως.

Εὐλόγησον δέσποτα.

Ὁ δὲ ἱερεὺς ἐκφώνως λέγει.

Εὐλογημένη ἡ βασιλεία τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός. Ἀμήν.

Ὁ διάκονος ἐκφώνως. Ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν.

Ὁ χορός. Κύριε ἐλέησον.

Ὁ διάκονος. Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ κυρίου δεηθῶμεν.

Ὁ χορός. Κύριε ἐλέησον.

Ὁ διάκονος. Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ κυρίου δεηθῶμεν.

Ὁ χορός. Κύριε ἐλέησον.

Ὁ διάκονος. Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ κυρίου δεηθῶμεν.

Ὁ χορός. Κύριε ἐλέησον.

Ὁ διάκονος. Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν, ὁ δεῖνος, τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ, τοῦ κυρίου δεηθῶμεν.

Ὁ χορός. Κύριε ἐλέησον.

Ὁ διάκονος. Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν, τοῦ κυρίου δεηθῶμεν.

Ὁ χορός. Κύριε ἐλέησον.

Ὁ διάκονος. Ὑπὲρ τοῦ συμπολεμῆσαι καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον, τοῦ κυρίου δεηθῶμεν.

Ὁ χορός. Κύριε ἐλέησον.

Ὁ διά-

Ὁ διάκονος. Ὑπὲρ τῆς ἁγίας μονῆς ταύτης, πάσης πόλεως, καὶ χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ κυρίου δεηθῶμεν.

Ὁ χορός. Κύριε ἐλέησον.

Ὁ διάκονος. Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν, τοῦ κυρίου δεηθῶμεν.

Ὁ χορός. Κύριε ἐλέησον.

Ὁ διάκονος. Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ κυρίου δεηθῶμεν.

Ὁ χορός. Κύριε ἐλέησον.

Ὁ διάκονος. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ κυρίου δεηθῶμεν. Ὁ χορός. Κύριε ἐλέησον.

Εὐχὴ ἀντιφώνου πρώτου μυστικῶς.

Κύριε ὁ θεὸς ἡμῶν, οὗ τὸ κράτος ἀνείκαστον, καὶ ἡ δόξα ἀκατάληπτος, οὗ τὸ ἔλεος ἀμέτρητον, καὶ ἡ φιλανθρωπία ἄφατος, αὐτὸς δέσποτα κατὰ τὴν εὐσπλαγχνίαν σου ἐπίβλεψον ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὸν ἅγιον οἶκον τοῦτον, καὶ ποίησον μεθ' ἡμῶν καὶ τῶν συνευχομένων ἡμῖν πλούσια τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου.

Τοῦ ἱερέως λέγοντος τὴν εὐχὴν μυστικῶς ἐν τῷ βήματι, ἐν τῷ αὐτῷ καιρῷ ὁ διάκονος λέγει ἔξω τοῦ βήματος τὰ εἰρηνικά· εἰ δὲ οὐκ ἔστι διάκονος, ὁ ἱερεὺς μετὰ τὴν εὐχὴν λέγει τὴν ἐκφώνησιν, καὶ μετὰ ταῦτα τὰ εἰρηνικά. Ὁ διάκονος.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι.

Ὁ χορός. Κύριε ἐλέησον.

Ὁ διάκονος. Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθέ-

νου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν χριστῷ τῷ θεῷ παραθώμεθα.

Ο χορός. Σοὶ κύριε.

Ἐκφώνως ὁ ἱερεύς.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ο χορός. Ἀμήν.

Μετὰ τὰ εἰρηνικά, ὁ χορὸς ψάλλει τὸ πρῶτον ἀντίφωνον, ἢ τὰ τυπικά, εἰ ἔστι κυριακή, εἴτ' οὖν τῆς ἡμέρας.

Εὐχὴ ἀντιφώνου δευτέρου μυστικῶς.

Κύριε ὁ θεὸς ἡμῶν, σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, τὸ πλήρωμα τῆς ἐκκλησίας σου φύλαξον, ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ.

Σημείωσαι καὶ ἐνταῦθα ὡς καὶ ἐν τῇ εὐχῇ τῇ πρώτῃ, εἰ ἔστι διάκονος, ἢ οὐκ ἔστιν. ὁ διάκονος.

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι.

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν χριστῷ τῷ θεῷ παραθώμεθα.

Ο χορός. Σοὶ κύριε.

Ἐκφώνως ὁ ἱερεύς.

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ ἱερεύς. Ἀμήν.

Μετὰ τὰ εἰρηνικὰ τὰ δεύτερα, ψάλλεται ὁ χορὸς τὸ δεύτερον ἀντίφωνον, ἢ τὰ τυπικὰ τὰ δεύτερα, εἰ ἔστι κυριακή, εἴτ' οὖν τῆς ἡμέρας.

Εὐχὴ ἀντιφώνου τρίτου μυστικῶς.

Ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους ἡμῖν χαρισάμενος προσευχάς, ὁ καὶ δύο καὶ τρισὶ συμφωνοῦσιν ἐπὶ τῷ ὀνόματί σου, τὰς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος, αὐτὸς καὶ νῦν τῶν δούλων σου τὰ αἰτήματα πρὸς τὸ συμφέρον πλήρωσον, χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας, καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον χαριζόμενος.

Σημείωσαι καὶ ἐνταῦθα ὡς καὶ ἐν τῇ εὐχῇ τῇ πρώτῃ καὶ δευτέρᾳ εἰ ἔστι διάκονος, ἢ οὐκ ἔστιν. Ὁ διάκονος.

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν.

Ὁ ἱερεύς. Κύριε ἐλέησον.

Ὁ διάκονος. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι.

Ὁ ἱερεύς. Κύριε ἐλέησον.

Ὁ διάκονος. Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν χριστῷ τῷ θεῷ παραθώμεθα.

Ὁ ἱερεύς. Σοὶ κύριε.

Ἐκφώνως ὁ ἱερεύς.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ

πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός. Ἀμήν.

Ἐνταῦθα ὁ χορὸς ψάλλει τὸ τρίτον ἀντίφωνον, ἢ τὴν τριτέκτην· εἰ δὲ καὶ ἔστι κυριακή, ψάλλει τοὺς μακαρισμούς, καὶ τοῦ ἁγίου τῆς ἡμέρας. ὅταν δὲ ἔλθῃ ὁ χορὸς εἰς τό, Δόξα πατρί, ὁ ἱερεὺς καὶ ὁ διάκονος ἔμπροσθεν τῆς ἁγίας τραπέζης ποιοῦσι προσκυνήματα τρία.

Εἶτα λαβὼν ὁ ἱερεὺς τὸ ἅγιον εὐαγγέλιον, δίδωσι τῷ διακόνῳ, καὶ οὕτως ἐξελθόντες διὰ τῆς θύρας τοῦ βορείου μέρους, ἔρχονται εἰς τὸν συνήθη τόπον, καὶ ποιοῦσι τὴν μικρὰν εἴσοδον, καὶ κλίνουσιν ἀμφότεροι τὰς κεφαλάς, καὶ τοῦ διακόνου εἰπόντος ἠρέμα.

Τοῦ κυρίου δεηθῶμεν.

Ἅμα καὶ τὸ ὡράριον κρατοῦντος, τοῖς τρισὶ δακτύλοις, λέγει ὁ ἱερεὺς τὴν εὐχὴν τῆς εἰσόδου.

Εὐχὴ τῆς εἰσόδου τοῦ ἁγίου εὐαγγελίου μυστικῶς.

Δέσποτα κύριε ὁ θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα καὶ στρατιὰς ἀγγέλων καὶ ἀρχαγγέλων εἰς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν εἴσοδον ἁγίων ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν, καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα. Ἐκφώνως.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χορός. Ἀμήν.

Τῆς εὐχῆς δὲ τελεσθείσης, λέγει ὁ διάκονος πρὸς τὸν ἱερέα.

Εὐλόγησον δέσποτα τὴν ἁγίαν εἴσοδον. δεικνύων ἅμα καὶ πρὸς ἀνατολὰς μετὰ τοῦ ὡραρίου.

Καὶ ὁ ἱερεὺς ποιῶν σταυρὸν κατὰ ἀνατολάς, λέγει.

Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ὁ διάκονος προσέρχεται πρὸς τὸν ἐπίσκοπον, καὶ ἀσπάζεται τὸ εὐαγγέλιον, εἰ πάρεστιν, εἴτ' οὖν ἀσπάζεται ὁ ἱερεύς. καὶ τοῦ τελευταίου δὲ τροπαρίου πληρωθέντος, εἰσέρχεται ὁ διάκονος εἰς τὸ μέσον, καὶ στὰς ἔμπροσθεν τοῦ ἱερέως, ἀνυψοῖ μικρὸν τὰς χεῖρας, καὶ δεικνύων τὸ ἅγιον εὐαγγέλιον, λέγει ἐκφώνως.

Σο-

Σοφία ὀρθοί. Εἶτα προσκυνήσας αὐτός τε καὶ ὁ ἱερεὺς κατόπιθεν αὐτοῦ, εἰσέρχονται εἰς τὸ ἅγιον βῆμα· καὶ ὁ μὲν διάκονος ἀποτίθησι τὸ ἅγιον εὐαγγέλιον ἐν τῇ ἁγίᾳ τραπέζῃ· οἱ δὲ ψάλλοντες, λέγουσι τὰ συνήθη τροπάρια, καὶ τοῦ κατὰ τὴν ἡμέραν ἁγίου· καὶ ὅταν μέλλωσιν εἰς τὸ ὕστερον, ὁ διάκονος πρὸς τὸν ἱερέα, λέγει, κλίνων τὴν ἑαυτοῦ κεφαλήν, καὶ τὸ ὠράριον ἐν τῇ χειρὶ κρατῶν.

Εὐλόγησον δέσποτα τὸν καιρὸν τοῦ τρισαγίου.

Καὶ ὁ ἱερεὺς σφραγίζων αὐτόν, λέγει.

Ὅτι ἅγιος εἶ ὁ θεὸς ἡμῶν, πάντοτε νῦν καὶ ἀεί.

Τοῦ δὲ τροπαρίου πληρωθέντος, ἔρχεται ὁ διάκονος ἐπὶ τὰς τῶν ἁγίων θύρας, καὶ δείκνυσι τὸ ὠράριον τοῖς ἔξω λέγων ἐκφώνως.

Καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χορός. Ἀμήν.

Τοῦ δὲ χοροῦ ψάλλοντος τὸ τρισάγιον, ὁ ἱερεὺς εὔχεται μυστικῶς.

Εὐχὴ τοῦ τρισαγίου μυστικῶς.

Ὁ θεὸς ὁ ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, ὁ τρισαγίῳ φωνῇ ὑπὸ τῶν σεραφὶμ ἀνυμνούμενος, καὶ ὑπὸ τῶν χερουβὶμ δοξολογούμενος, καὶ ὑπὸ πάσης ἐπουρανίου δυνάμεως προσκυνούμενος· ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα· ὁ κτίσας τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν, καὶ παντί σου χαρίσματι κατακοσμήσας· ὁ διδοὺς αἰτοῦντι σοφίαν καὶ σύνεσιν, καὶ μὴ παρορῶν ἁμαρτάνοντα, ἀλλὰ θέμενος ἐπὶ σωτηρίᾳ μετάνοιαν· ὁ καταξιώσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου καὶ ἐν τῇ ὥρᾳ ταύτῃ στῆναι κατενώπιον τῆς δόξης τοῦ ἁγίου σου θυσιαστηρίου, καὶ τὴν ὀφειλομένην σοι προσκύνησιν καὶ δοξολογίαν προσάγειν· αὐτὸς δέσποτα πρόσδεξαι καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν τρισάγιον ὕμνον, καὶ ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου· συγχώρησον ἡμῖν πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον, καὶ ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα, καὶ δὸς ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς

ζωῆς ἡμῶν, πρεσβείαις τῆς ἁγίας θεοτόκου, καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων. Ἐκφώνως.

Ὅτι ἅγιος εἶ ὁ θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός. Ἀμήν.

Ταύτης δὲ τελεσθείσης, καὶ τοῦ χοροῦ ψάλλοντος τὸ, Δόξα καὶ νῦν. ψάλλουσι καὶ αὐτοὶ ὅ,τε ἱερεὺς καὶ ὁ διάκονος τὸ τρισάγιον, ποιοῦντες ὁμοῦ καὶ προσκυνήματα τρία ἔμπροσθεν τῆς ἁγίας τραπέζης.

Εἶτα λέγει ὁ διάκονος πρὸς τὸν ἱερέα.

Εὐλόγησον δέσποτα.

Καὶ ἀπέρχονται ἐν τῇ καθέδρᾳ. καὶ ὁ ἱερεὺς λέγει ἀπερχόμενος.

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου.

Ὁ δὲ διάκονος.

Εὐλόγησον δέσποτα τὴν ἄνω καθέδραν.

Καὶ ὁ ἱερεύς.

Εὐλογημένος εἶ ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ τρισαγίου, ὁ διάκονος ἐλθὼν ἔμπροσθεν τῆς θύρας, λέγει.

Πρόσχωμεν.

Καὶ ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ διάκονος. Σοφία.

Καὶ ὁ ἀναγνώστης ἄρχεται. Ἀλληλούϊα. Ψαλμὸς τῷ Δαβίδ.

Καὶ ὁ διάκονος αὖθις. Πρόσχωμεν.

Ὁ ἀναγνώστης τὸ προκείμενον τοῦ ἀποστόλου καὶ τῆς ἡμέρας.

καὶ ὁ διάκονος αὖθις. Πρόσχωμεν.

Καὶ τοῦ ἀποστόλου πληρωθέντος, ἐκφωνεῖ ὁ ἱερεύς.

Εἰρήνη σοι. Ὁ διάκονος Σοφία.

Καὶ ὁ χορὸς τὸ, Ἀλληλούϊα. Ψαλμὸς τῷ Δαβίδ.

Καὶ

Καὶ ὁ διάκονος αὖθις. Πρόσχωμεν. ὁ ἀναγνώστης τὸ προκείμενον τοῦ ἀποστόλου καὶ τῆς ἡμέρας. Καὶ ὁ διάκονος αὖθις. Πρόσχωμεν.

καὶ τοῦ ἀποστόλου πληρωθέντος, ἐκφωνεῖ ὁ ἱερεύς.

Εἰρήνη σοι. ὁ διάκονος. Σοφία. Καὶ ὁ χορός, τὸ

Ἀλληλούϊα. Ψαλμὸς τῷ Δαβίδ.

Καὶ λαβὼν ὁ διάκονος τὸ θυμιατήριον καὶ τὸ θυμίαμα, προσέρχεται τῷ ἱερεῖ, λέγων.

Εὐλόγησον δέσποτα τὸ θυμίαμα.

Τοῦ δὲ ἱερέως εὐλογοῦντος, καὶ τὴν εὐχὴν εἰπόντος ταύτην.

Θυμίαμά σοι προσφέρομεν Χριστὲ ὁ θεὸς ἡμῶν, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικατάπεμψον ἡμῖν τὴν θείαν χάριν τοῦ παναγίου σου πνεύματος, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Θυμιᾷ ὁ διάκονος τὴν ἁγίαν τράπεζαν γύρωθεν, τὸ ἱερατεῖον ὅλον, καὶ τὸν ἀέρα. καὶ μετὰ τοῦτο τὸ θυμιατήριον ἀποθέμενος, ἔρχεται πρὸς τὸν ἱερέα· καὶ κλίνας αὐτῷ τὴν κεφαλήν, κρατῶν καὶ τὸ ὠράριον σὺν τῷ ἁγίῳ εὐαγγελίῳ ἄκροις τοῖς δακτύλοις, δηλονότι ἐν ἐκείνῳ τῷ τόπῳ τῆς ἁγίας τραπέζης, λέγει.

Εὐλόγησον δέσποτα τὸν εὐαγγελιστὴν τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ τοῦδε. ὁ δὲ ἱερεὺς σφραγίζων αὐτόν, λέγει.

Ὁ θεὸς διὰ πρεσβειῶν τοῦ ἁγίου ἐνδόξου ἀποστόλου καὶ εὐαγγελιστοῦ τοῦδε, δώη σοι ῥῆμα εἰς τὸ εὐαγγελίσασθαι τῷ εὐαγγελιζομένῳ δυνάμει πολλῇ.

Καὶ ὁ διάκονος εἰπὼν τὸ, Ἀμήν. καὶ προσκυνήσας μετὰ εὐλαβείας τὸ ἅγιον εὐαγγέλιον, καὶ ἐξελθὼν διὰ τῶν ἁγίων θυρῶν προπορευομένων καὶ λαμπάδων καὶ θυμιαμάτων, ἔρχεται καὶ ἵσταται ἄνω ἐν τῷ ἄμβωνι ἢ ἐν τῷ τεταγμένῳ τόπῳ. ὁ δὲ ἱερεὺς ἱστάμενος ἔμπροσθεν τῆς ἁγίας τραπέζης. βλέπων πρὸς δυσμάς, ἐκφωνεῖ.

Σοφία ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου. Καὶ ὁ διάκονος. Ἐκ τοῦ κατὰ τοῦδε ἁγίου εὐαγγελίου τὸ ἀνάγνωσμα. καὶ ὁ ἱερεύς.

Πρόσχωμεν. Τοῦ δὲ εὐαγγελίου πληρωθέντος, λέγει πρὸς τὸν διάκονον ὁ ἱερεύς. Εἰρήνη σοι. Καὶ ὁ διάκονος ἐλθὼν ἕως τῶν ἁγίων θυρῶν, ἀποδίδωσι τὸ ἅγιον εὐαγγέλιον τῷ ἱερεῖ. εἶτα ἐν τῷ συνήθει τόπῳ στάς, ἄρχεται οὕτως.

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας εἴπωμεν. Ὁ χορός. Κύριε ἐλέησον.

Ὁ διάκονος. Κύριε παντοκράτορ, ὁ θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον.

Ὁ χορός. Κύριε ἐλέησον.

Ὁ διάκονος. Ἐλέησον ἡμᾶς ὁ θεὸς κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου κύριε ἐπάκουσον.

Ὁ χορός. Κύριε ἐλέησον.

Ὁ διάκονος. Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, κράτους, νίκης, διαμονῆς, εἰρήνης, ὑγείας, σωτηρίας αὐτῶν, καὶ τοῦ κύριον τὸν θεὸν ἡμῶν ἐπιπλέον συνεργῆσαι κατευοδῶσαι αὐτοὺς ἐν πᾶσι, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον. Ὁ χορός. Κύριε ἐλέησον.

Ὁ δὲ ἱερεὺς λέγει τὴν εὐχὴν ταύτην μυστικῶς.

Κύριε ὁ θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων, καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ' ἡμᾶς καὶ ἐπὶ πάντα τὸν λαόν σου, τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος. Ἐκφώνως.

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός. Ἀμήν.

Ὁ διάκονος. Εὔξασθε οἱ κατηχούμενοι τῷ κυρίῳ.

Ὁ χορός. Κύριε ἐλέησον.

Ὁ διάκονος. Οἱ πιστοὶ ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν, ἵνα ὁ κύριος αὐτοὺς ἐλεήσῃ.

Ὁ χορός. Κύριε ἐλέησον.

Ὁ διάκονος. Κατηχήσῃ αὐτοὺς τὸν λόγον τῆς ἀληθείας.

Ὁ χο-

Ο ἱερεύς. Κύριε ἐλέησον.

Ο διάκονος. Ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης.

Ο ἱερεύς. Κύριε ἐλέησον.

Ο διάκονος. Ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ.

Ο ἱερεύς. Κύριε ἐλέησον.

Ο διάκονος. Σῶσον, ἐλέησον, ἀντιλαβοῦ καὶ διαφύλαξον αὐτοὺς ὁ θεὸς τῇ σῇ χάριτι.

Ο ἱερεύς. Κύριε ἐλέησον.

Ο διάκονος. Οἱ κατηχούμενοι, τὰς κεφαλὰς ὑμῶν τῷ κυρίῳ κλίνατε.

Ο ἱερεύς. Σοὶ κύριε.

Εὐχὴ κατηχουμένων πρὸ τῆς ἁγίας ἀναφορᾶς, ἣν ὁ ἱερεὺς λέγει μυστικῶς.

Κύριε ὁ θεὸς ἡμῶν ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, ὁ τὴν σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων ἐξαποστείλας τὸν μονογενῆ σου υἱὸν καὶ θεὸν τὸν κύριον ἡμῶν Ἰησοῦν χριστὸν, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους, τοὺς ὑποκεκλικότας σοὶ τὸν ἑαυτῶν αὐχένα· καὶ καταξίωσον αὐτοὺς ἐν καιρῷ εὐθέτῳ τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας, ἕνωσον αὐτοὺς τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, καὶ συγκαταρίθμησον αὐτοὺς τῇ ἐκλεκτῇ σου ποίμνῃ. Ἐκφώνως.

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο ἱερεύς. Ἀμήν.

Μετὰ τὴν ἐκφώνησιν λαμβάνει ὁ ἱερεὺς τὸ εἰλητὸν, καὶ κατὰ τὸ σύνηθες ἐξαπλοῖ.

Ο διάκονος. Ὅσοι κατηχούμενοι προσέλθετε· οἱ κατηχούμενοι προσέλθετε· ὅσοι κατηχούμενοι προσέλθετε. μή τις τῶν κατηχουμένων. ὅσοι πιστοὶ, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε ἐλέησον.

Εὐχὴ πιστῶν πρώτη μετὰ τὸ ἁπλωθῆναι τὸ εἰλητὸν, ἣν ὁ ἱερεὺς μυστικῶς λέγει.

Εὐχαριστοῦμέν σοι κύριε ὁ θεὸς τῶν δυνάμεων, τῷ καταξιώσαντι ἡμᾶς παραστῆναι καὶ νῦν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ προσπεσεῖν τοῖς οἰκτιρμοῖς σου ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· πρόσδεξαι ὁ θεὸς τὴν δέησιν ἡμῶν, ποίησον ἡμᾶς ἀξίους γενέσθαι τοῦ προσφέρειν σοι δεήσεις καὶ ἱκεσίας καὶ θυσίας ἀναιμάκτους ὑπὲρ παντὸς τοῦ λαοῦ σου, καὶ ἱκάνωσον ἡμᾶς, οὓς ἔθου εἰς τὴν διακονίαν σου ταύτην, ἐν τῇ δυνάμει τοῦ πνεύματός σου τοῦ ἁγίου, ἀκαταγνώστως καὶ ἀπροσκόπτως ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν, ἐπικαλεῖσθαί σε ἐν παντὶ καιρῷ καὶ τόπῳ, ἵνα εἰσακούων ἡμῶν, ἵλεως ἡμῖν εἴης ἐν τῷ πλήθει τῆς σῆς ἀγαθότητος.

Εὐχομένου τοῦ ἱερέως, ὁ διάκονος λέγει τὰ εἰρηνικὰ, εἰ ἔστιν, ἔξω τοῦ ἁγίου βήματος ἐν τῷ συνήθει τόπῳ.

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ, τοῦ κυρίου δεηθῶμεν,

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Ὑπὲρ τῆς ἁγίας μονῆς ταύτης, πάσης πόλεως, χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν, τοῦ κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε ἐλέησον.

Ὁ διάκονος. Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ κυρίου δεηθῶμεν.

Ὁ χορός. Κύριε ἐλέησον.

Ὁ διάκονος. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ κυρίου δεηθῶμεν.

Ὁ χορός. Κύριε ἐλέησον.

Ὁ διάκονος. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι.

Ὁ χορός. Κύριε ἐλέησον.

Ὁ διάκονος. Σοφία.

Ὁ ἱερεὺς ἐκφώνως.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χορός. Ἀμήν.

Εὐχὴ πιστῶν δευτέρα, ἣν ὁ ἱερεὺς μυστικῶς λέγει.

Πάλιν καὶ πολλάκις σοι προσπίπτομεν, καὶ σοῦ δεόμεθα ἀγαθὲ καὶ φιλάνθρωπε, ὅπως ἐπιβλέψας ἐπὶ τὴν δέησιν ἡμῶν, καθαρίσῃς ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος· καὶ δώῃς ἡμῖν ἀνένοχον καὶ ἀκατάκριτον τὴν παράστασιν τοῦ ἁγίου σου θυσιαστηρίου. χάρισαι δὲ ὁ θεὸς καὶ τοῖς συνευχομένοις ἡμῖν προκοπὴν βίου καὶ πίστεως καὶ συνέσεως πνευματικῆς· δὸς αὐτοῖς πάντοτε μετὰ φόβου καὶ ἀγάπης λατρεύουσί σοι, ἀνενόχως καὶ ἀκατακρίτως μετέχειν τῶν ἁγίων σου μυστηρίων καὶ τῆς ἐπουρανίου σου βασιλείας ἀξιωθῆναι.

Εὐχομένου τοῦ ἱερέως, ὁ διάκονος λέγει τὰ εἰρηνικὰ ἔξω τοῦ ἁγίου βήματος. Ὁ ἱερεὺς ἐκφώνως.

Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ

πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός. Ἀμήν.

Μετὰ τὴν ἐκφώνησιν, λέγει τὴν εὐχὴν καθ' ἑαυτόν, καὶ οἱ μὲν ψάλται, ψάλλουσι τὸν χερουβικὸν ὕμνον· ὁ δὲ διάκονος προσελθὼν τῷ ἱερεῖ, μετὰ θυμιάματος θυμιᾷ τὴν ἁγίαν τράπεζαν σταυροειδῶς κύκλῳ, καὶ τὸ ἱερατεῖον, καὶ τὸν ἱερέα. καὶ μετὰ τοῦτο ἵσταται ἐν τῇ ἀριστερᾷ τοῦ ἱερέως εὐλαβῶς, προσμένων τὴν συμπλήρωσιν τῆς εὐχῆς.

Εὐχὴ ἣν λέγει ὁ ἱερεὺς μυστικῶς τοῦ χερουβικοῦ ᾀδομένου.

Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς, προσέρχεσθαι ἢ προσεγγίζειν ἢ λειτουργεῖν σοι βασιλεῦ τῆς δόξης· τὸ γὰρ διακονεῖν σοι, μέγα καὶ φοβερὸν καὶ αὐταῖς ταῖς ἐπουρανίοις δυνάμεσιν· ἀλλ' ὅμως διὰ τὴν ἄφατον καὶ ἀμέτρητόν σου φιλανθρωπίαν, ἀτρέπτως καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος, καὶ ἀρχιερεὺς ἡμῶν ἐχρημάτισας, καὶ τῆς λειτουργικῆς ταύτης καὶ ἀναιμάκτου θυσίας τὴν ἱερουργίαν παρέδωκας ἡμῖν, ὡς δεσπότης τῶν ἁπάντων· σὺ γὰρ μόνος κύριε ὁ θεὸς ἡμῶν δεσπόζεις τῶν ἐπουρανίων καὶ τῶν ἐπιγείων ὁ ἐπὶ θρόνου χερουβικοῦ ἐποχούμενος, ὁ τῶν σεραφὶμ κύριος, καὶ βασιλεὺς τοῦ Ἰσραήλ, ὁ μόνος ἅγιος, καὶ ἐν ἁγίοις ἀναπαυόμενος. σὲ τοίνυν δυσωπῶ τὸν μόνον ἀγαθὸν καὶ εὐήκοον· ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ἁμαρτωλὸν καὶ ἀχρεῖον δοῦλόν σου· καὶ καθάρισόν μου τὴν ψυχὴν καὶ τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς, καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ ἁγίου σου πνεύματος, ἐνδεδυμένον τὴν τῆς ἱερατείας σου χάριν, παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ τραπέζῃ, καὶ ἱερουργῆσαι τὸ ἅγιον καὶ ἄχραντόν σου σῶμα, καὶ τὸ τίμιόν σου αἷμα· σοὶ γὰρ προσεύχομαι κλίνας τὸν ἐμαυτοῦ αὐχένα, καὶ δέομαί σου μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, μηδὲ ἀποδοκιμάσῃς με ἐκ παίδων σου, ἀλλ' ἀξίωσον προσενεχθῆναί σοι ὑπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀνα-

ξίου

ξίου δούλου σου τὰ δῶρα ταῦτα· σὺ γὰρ εἶ ὁ προσφέρων
καὶ ὁ προσφερόμενος, καὶ προσδεχόμενος καὶ διαδιδό-
μενος, Χριστὲ ὁ θεὸς ἡμῶν· καὶ σοὶ τὴν δόξαν ἀναπέμπο-
μεν σὺν τῷ ἀνάρχῳ σου πατρὶ, καὶ τῷ παναγίῳ καὶ ἀγα-
θῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. Ἀμήν.

Πληρωθείσης δὲ τῆς εὐχῆς, εὔχονται ὁμοῦ τὸν χερουβικὸν ὕμνον, καὶ τρεῖς ἐν τῷ λέγειν αὐτὸν προσκυνοῦντες. εἶτα καὶ τὸν πεντηκοστὸν ψαλμὸν μυστικῶς. καὶ προσκυνοῦντες τρεῖς, ἀπέρχονται ἐν τῇ προθέσει, προπορευομένου τοῦ διακόνου μετὰ θυμιάματος. καὶ θυμιάσας τὰ ἅγια, καθ' ἑαυτὸν εὐχόμενος τὸ,

Ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. πρὸς τὸν ἱερέα λέγει.
Ἔπαρον δέσποτα.

Ὁ δὲ ἱερεὺς ἄρας τὸν ἀέρα, ἐπιτίθησι τῷ ἀριστερῷ ὤμῳ τοῦ διακόνου, λέγων.

Ἐν εἰρήνῃ ἐπάρατε τὰς χεῖρας ἡμῶν εἰς τὰ ἅγια, καὶ εὐλο-
γεῖτε τὸν κύριον. εὐλογήσαι σε κύριος ἐκ Σιὼν, ὁ ποιήσας
τὸν οὐρανὸν καὶ τὴν γῆν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶ-
νας τῶν αἰώνων. ὁ διάκονος. Ἀμήν.

Εἶτα τὸν ἅγιον δίσκον ἐπὶ τῆς κορυφῆς αὐτοῦ ὁ διάκονος μετὰ προσοχῆς λαμβάνει. ὁ δ' ἱερεὺς αἴρων τὸ ἅγιον ποτήριον μόνον, καὶ ὁ διάκονος κρατῶν ἐν τῇ δεξιᾷ αὐτοῦ ἑνὶ δακτύλῳ τὸ θυμιατήριον. καὶ διερχόμενοι τὸν ναὸν, εὔχονται ἀμφότεροι ὑπὲρ πάντων, λέγοντες.

Μνησθείη κύριος ὁ θεὸς πάντων ἡμῶν ἐν τῇ βασιλείᾳ αὐ-
τοῦ, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός. Ἀμήν. καὶ πολλάκις τοῦτο λέγουσιν, ἕως ἂν πληρωθῇ ἡ μεγάλη εἴσοδος. εἰσερχόμενοι δ' εἰς τὸ ἅγιον βῆμα, λέγουσι καθ' ἑαυτούς.

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου.

Εἶτα ὁ διάκονος πάλιν πρὸς τὸν ἱερέα τὴν κεφαλὴν ὑποκλίνας, λέγει.

Μνήσθητί μου δέσποτα ἅγιε τοῦ ἁμαρτωλοῦ. καὶ ὁ ἱερεύς.
Μνησθείη σου κύριος ὁ θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάν-

ποτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ἀποτίθεται καὶ αὐτὸς τὸ ἅγιον ποτήριον, ἐν τῇ ἱερᾷ τραπέζῃ, ἐπιλέγων καὶ τὸ τροπάριον τόδε.

Ὁ εὐσχήμων Ἰωσὴφ ἀπὸ τοῦ ξύλου καθελὼν τὸ ἄχραντόν σου σῶμα, σινδόνι καθαρᾷ εἰλήσας, καὶ ἀρώμασιν ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο.

Εἶτα ἀποτίθησι τὰ καλύμματα ὁ ἱερεὺς ἀπὸ τοῦ ἁγίου δίσκου καὶ τοῦ ἁγίου ποτηρίου· τὸν δὲ ἀέρα λαβὼν ἀπὸ τοῦ ὤμου τοῦ διακόνου, καὶ θυμιάσας αὐτὸν ἐπισκεπάζει δι' αὐτοῦ τὰ ἅγια. εἶτα ὁ διάκονος θυμιᾷ τὰ ἅγια τρεῖς, λέγων οὕτως. Ἀγάθυνον κύριε ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών.

Εἶτα εὐχόμενοι τό, Ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.

Ἔμπροσθεν τῆς ἁγίας τραπέζης προσκυνοῦσι τρεῖς. καὶ ὁ μὲν ἱερεὺς ἵσταται· ὁ δὲ διάκονος τὸν αὐχένα κλίνας, πρὸς τὸν ἱερέα λέγει.

Εὖξαι ὑπὲρ ἐμοῦ δέσποτα. ὁ δὲ ἱερεὺς λέγει.

Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι. ὁ δὲ διάκονος λέγει.

Τὸ αὐτὸ ἅγιον πνεῦμα συλλειτουργήσει ὑμῖν καὶ ἡμῖν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μνήσθητί μου δέσποτα ἅγιε. ὁ δὲ ἱερεὺς λέγει.

Μνησθείη σου κύριος ὁ θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ὁ διάκονος.

Ἀμήν. ἀμήν. ἀμήν.

Καὶ προσκυνήσας, ἔρχεται ἐν τῷ συνήθει τόπῳ λέγων.

Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ κυρίῳ. ὁ χορός. Κύριε ἐλέησον. ὁ διάκονος. Ὑπὲρ τῶν προτεθέντων τιμίων δώρων, τοῦ κυρίου δεηθῶμεν. ὁ χορός. Κύριε ἐλέησον. ὁ διάκονος. Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως καὶ εὐλαβείας καὶ φόβου θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ κυρίου δεηθῶμεν. ὁ χορός. Κύριε ἐλέησον. ὁ διάκονος. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, τοῦ κυρίου δεηθῶμεν. ὁ χορός. Κύριε ἐλέησον.

Εὐχὴ προσκομιδῆς μετὰ τὴν ἐν τῇ ἁγίᾳ τραπέζῃ τῶν θείων δώρων ἀπόθεσιν, ἣν λέγει ὁ ἱερεὺς μυστικῶς.

Κύριε ὁ θεὸς ὁ παντοκράτωρ, ὁ μόνος ἅγιος, ὁ δεχόμενος θυσίαν αἰνέσεως παρὰ τῶν ἐπικαλουμένων σε ἐν ὅλῃ καρδίᾳ, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὴν δέησιν, καὶ προσάγαγε τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ ἱκάνωσον ἡμᾶς προσενεγκεῖν σοι δῶρά τε καὶ θυσίας πνευματικὰς ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· καὶ καταξίωσον ἡμᾶς εὑρεῖν χάριν ἐνώπιόν σου, τοῦ γενέσθαι σοι εὐπρόσδεκτον τὴν θυσίαν ἡμῶν, καὶ ἐπισκηνῶσαι τὸ πνεῦμα τῆς χάριτός σου τὸ ἀγαθὸν ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα, καὶ ἐπὶ πάντα τὸν λαόν σου. ὁ διάκονος. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι. ὁ χορός. Κύριε ἐλέησον. ὁ διάκονος. Τὴν ἡμέραν πᾶσαν τελείαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ κυρίου αἰτησώμεθα. ὁ χορός. Παράσχου κύριε. ὁ διάκονος. Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ κυρίου αἰτησώμεθα. ὁ χορός. Παράσχου κύριε. ὁ διάκονος. Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ κυρίου αἰτησώμεθα.

Ὁ χορός. Παράσχου κύριε. ὁ διάκονος. Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ κυρίου αἰτησώμεθα. ὁ χορός. Παράσχου κύριε. ὁ διάκονος. Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ κυρίου αἰτησώμεθα. ὁ χορός. Παράσχου κύριε.

Ὁ διάκονος. Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος, παρὰ τοῦ κυρίου αἰτησώμεθα.

ὁ χορός. Παράσχου κύριε. ὁ διάκονος. Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν χριστῷ τῷ θεῷ παραθώμεθα.

ὁ χορός. Σοὶ κύριε. ὁ ἱερεὺς ἐκφώνως.

Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ὁ χορός. Ἀμήν. ὁ ἱερεύς. Εἰρήνη πᾶσιν. ὁ διάκονος.

Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν.

ὁ χορός. Πατέρα, υἱὸν, καὶ ἅγιον πνεῦμα, τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Ο ἱερεὺς προσκυνεῖ τρὶς, λέγων μυστικῶς τρίς.

Ἀγαπήσω σε κύριε ἡ ἰσχύς μου, κύριος στερέωμά μου, καὶ καταφυγή μου.

Καὶ ὁ διάκονος προσκυνεῖ τὸ ὡράριον αὐτοῦ, καὶ προσκυνεῖ τρὶς, καὶ ἐπισημαίνεται ἐκφώνως.

Τὰς θύρας, τὰς θύρας. ἐν σοφίᾳ πρόσχωμεν.

Καὶ ὁ χορὸς, τό. Πιστεύω.

Καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ ἁγίου συμβόλου, λέγει ὁ διάκονος ἐκφώνως.

Στῶμεν καλῶς, στῶμεν μετὰ φόβου, πρόσχωμεν τὴν ἁγίαν ἀναφορὰν ἐν εἰρήνῃ προσφέρειν. ὁ χορός.

Ἔλαιον εἰρήνης, θυσίαν αἰνέσεως.

Ο ἱερεὺς ἐκφώνως.

Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ θεοῦ καὶ πατρὸς, καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος, εἴη μετὰ πάντων ἡμῶν.

Ο χορός. Καὶ μετὰ τοῦ πνεύματός σου.

ὁ ἱε-

Ὁ ἱερεύς. Ἄνω σχῶμεν τὰς καρδίας.

Ὁ χορός. Ἔχωμεν πρὸς τὸν κύριον.

Ὁ ἱερεύς. Εὐχαριστήσωμεν τῷ κυρίῳ.

Ὁ χορός. Ἄξιον καὶ δίκαιόν ἐστι προσκυνεῖν πατέρα, υἱὸν καὶ ἅγιον πνεῦμα, τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται μυστικῶς.

Ἄξιον καὶ δίκαιον σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ αἰνεῖν, σοὶ εὐχαριστεῖν, σὲ προσκυνεῖν ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου· σὺ γὰρ εἶ θεὸς ἀνέκφραστος, ἀπερινόητος, ἀόρατος, ἀκατάληπτος, ἀεὶ ὤν, ὡσαύτως ὤν, σὺ καὶ ὁ μονογενής σου υἱὸς καὶ τὸ πνεῦμά σου τὸ ἅγιον. σὺ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παρήγαγες, καὶ παραπεσόντας ἀνέστησας πάλιν, καὶ οὐκ ἀπέστης πάντα ποιῶν, ἕως ἡμᾶς εἰς τὸν οὐρανὸν ἀνήγαγες, καὶ τὴν βασιλείαν σου ἐχαρίσω τὴν μέλλουσαν. ὑπὲρ τούτων ἁπάντων εὐχαριστοῦμέν σοι καὶ τῷ μονογενεῖ σου υἱῷ, καὶ τῷ πνεύματί σου τῷ ἁγίῳ, ὑπὲρ πάντων ὧν ἴσμεν, καὶ ὧν οὐκ ἴσμεν, τῶν φανερῶν καὶ ἀφανῶν εὐεργεσιῶν τῶν εἰς ἡμᾶς γεγενημένων. εὐχαριστοῦμέν σοι καὶ ὑπὲρ τῆς λειτουργίας ταύτης, ἣν ἐκ τῶν χειρῶν ἡμῶν δέξασθαι κατηξίωσας. καίτοι σοὶ παρεστήκασι χιλιάδες ἀρχαγγέλων, καὶ μυριάδες ἀγγέλων, τὰ χερουβὶμ καὶ τὰ σεραφὶμ ἑξαπτέρυγα, πολυόμματα, μετάρσια, πτερωτά,

Ἐκφώνως.

Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα καὶ λέγοντα·

Ὁ χορός.

Ἅγιος ἅγιος ἅγιος κύριος σαβαώθ· πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου, ὡσαννὰ ἐν τοῖς ὑψίστοις. εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

Ὁ διάκονος δὲ λαμβάνει τὸν ἀστερίσκον, καὶ ποιεῖ σταυροειδῶς ἐπὶ τοῦ ἁγίου δίσκου, καὶ ἀπογίσας αὐτὸν ἐπὶ εἰλητοῦ, καὶ ἀσπασάμενος, τίθησιν αὐτὸν μετὰ τοῦ ἀέρος. εἶτα μεταβαίνει ἐν τῷ δεξιῷ μέρει, καὶ ῥιπίζει ἐπάνω τῶν ἁγίων μετὰ ῥιπιδίου εὐλαβῶς· εἰ δὲ οὐκ ἔστι ῥιπίδιον, ποιεῖ τοῦτο μετὰ καλύμματος. Ἐπεύχεται μυστικῶς ὁ ἱερεύς.

Μετὰ τούτων καὶ ἡμεῖς τῶν μακαρίων δυνάμεων, δέσποτα φιλάνθρωπε, βοῶμεν καὶ λέγομεν, ἅγιος εἶ καὶ πανάγιος, σὺ καὶ ὁ μονογενής σου υἱὸς καὶ τὸ πνεῦμά σου τὸ ἅγιον· ἅγιος εἶ καὶ πανάγιος, καὶ μεγαλοπρεπὴς ἡ δόξα σου· ὃς τὸν κόσμον σου οὕτως ἠγάπησας, ὥστε τὸν μονογενῆ σου υἱὸν δοῦναι, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον· ὃς ἐλθὼν, καὶ πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πληρώσας, τῇ νυκτὶ ᾗ παρεδίδοτο, μᾶλλον δὲ ἑαυτὸν παρεδίδου, ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐν ταῖς ἁγίαις αὐτοῦ καὶ ἀχράντοις καὶ ἀμωμήτοις χερσὶν, εὐχαριστήσας καὶ εὐλογήσας, ἁγιάσας, κλάσας, ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις εἰπών.

Ὁ ἱερεὺς κλίνει τὴν κεφαλὴν, καὶ αἴρων τὴν δεξιὰν αὐτοῦ μετ' εὐλαβείας, εὐλογεῖ τὸν ἅγιον ἄρτον, ἐκφώνως λέγων.

Λάβετε, φάγετε, τοῦτό μου ἐστὶ τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν. Ὁ χορός. Ἀμήν.

Ὁ δὲ διάκονος ἁπτόμενος τοῦ ἰδίου ὠραρίου, δείκνυσι σὺν τῷ ἱερεῖ καὶ αὐτὸς τὸν ἅγιον δίσκον, ὁμοίως καὶ ἐπὶ τοῦ ἁγίου ποτηρίου. ὡσαύτως καὶ ὅταν ἀναφωνῇ ὁ ἱερεύς,

Τὰ σὰ ἐκ τῶν σῶν.

Ὁ ἱερεὺς μυστικῶς.

Ὁμοίως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι λέγων.

Ἐκφώνως ὁ ἱερεὺς τὴν χεῖρα ἔχων ἄνωθεν μετ' εὐλαβείας, καὶ εὐλογῶν, λέγει.

Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. Ὁ χορός. Ἀμήν.

Ὁ ἱερεὺς κλίνας τὴν κεφαλὴν ἐπεύχεται μυστικῶς.

Μεμνημένοι τοίνυν τῆς σωτηρίου ταύτης ἐντολῆς, καὶ πάντων τῶν ὑπὲρ ἡμῶν γεγενημένων, τοῦ σταυροῦ, τοῦ τάφου, τῆς τριημέρου ἀναστάσεως, τῆς εἰς οὐρανοὺς ἀναβάσεως, τῆς ἐκ δεξιῶν καθέδρας, τῆς δευτέρας καὶ ἐνδόξου πάλιν παρουσίας. ἐκφώνως.

Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέρομεν κατὰ πάντα καὶ διὰ πάντα. Ὁ χορός.

Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν σοὶ εὐχαριστοῦμεν κύριε, καὶ δεόμεθά σου ὁ θεὸς ἡμῶν.

Ὁ ἱερεὺς πάλιν κλίνας τὴν κεφαλὴν, ἐπεύχεται μυστικῶς.

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον λατρείαν, καὶ παρακαλοῦμεν, καὶ δεόμεθα, καὶ ἱκετεύομεν, κατάπεμψον τὸ πνεῦμά σου τὸ ἅγιον ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα.

Ὁ διάκονος ἀποτίθησι τὸ ῥιπίδιον ὅπερ εἶχε κρατεῖν, ἢ κάλυμμα, καὶ ἔρχεται ἐγγύτερον τοῦ ἱερέως, καὶ προσκυνοῦσιν ἀμφότεροι τρεῖς ἔμπροσθεν τῆς ἁγίας τραπέζης, καὶ εὐχόμενοι καθ᾽ ἑαυτοὺς τό,

Ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. λέγουσι μυστικῶς τρεῖς.

Κύριε ὁ τὸ πανάγιον πνεῦμα ἐν τῇ τρίτῃ ὥρᾳ τοῖς ἀποστόλοις καταπέμψας, τοῦτο ἀγαθὲ μὴ ἀντανέλῃς ἀφ᾽ ἡμῶν. καὶ τό, Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Εἶτα τὴν κεφαλὴν κλίνας ὁ διάκονος, δείκνυσι σὺν τῷ ὠραρίῳ τὸν ἅγιον ἄρτον, καὶ λέγει μυστικῶς.

Εὐλόγησον δέσποτα τὸν ἅγιον ἄρτον.

Καὶ ὁ ἱερεὺς ἀνιστάμενος, σφραγίζει τρεῖς τὰ ἅγια δῶρα, λέγων μυστικῶς.

Ποίησον, τὸν μὲν ἄρτον τοῦτον, τίμιον σῶμα τοῦ χριστοῦ σου.

Ὁ διάκονος. Ἀμήν. καὶ αὖθις ὁ διάκονος.

Εὐλόγησον δέσποτα τὸ ἅγιον ποτήριον.

Ὁ δὲ ἱερεὺς εὐλογῶν λέγει.

Τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ, τίμιον αἷμα τοῦ χριστοῦ σου. ὁ διάκ. Ἀμήν. καὶ αὖθις ὁ διάκονος δεικνύων μετὰ τοῦ ὠραρίου ἀμφότερα τὰ ἅγια, λέγει. Εὐλόγησον δέσποτα.

Ὁ δὲ ἱερεὺς εὐλογῶν μετὰ τῆς χειρὸς ἀμφότερα τὰ ἅγια, λέγει.

Μεταβαλὼν τῷ πνεύματί σου τῷ ἁγίῳ. ὁ διάκονος. Ἀμήν, ἀμήν, ἀμήν.

Καὶ τὴν κεφαλὴν ὑποκλίνας ὁ διάκονος τῷ ἱερεῖ, καὶ εἰπὼν τό, Μνήσθητί μου ἅγιε δέσποτα τοῦ ἁμαρτωλοῦ.

Μεθίσταται ἐν ᾧ πρότερον ἵστατο τόπῳ, λαβὼν καὶ τὸ ῥιπίδιον αὖθις ὡς πρότερον. ὁ δὲ ἱερεὺς ἐπεύχεται μυστικῶς.

Ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν εἰς νῆψιν ψυχῆς, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ ἁγίου πνεύματος, εἰς βασιλείας οὐρανῶν πλήρωμα, εἰς παῤῥησίαν τὴν πρὸς σέ, μὴ εἰς κρίμα ἢ εἰς κατάκριμα. ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῶν ἐν πίστει ἀναπαυσαμένων προπατόρων, πατέρων, πατριαρχῶν, προφητῶν, ἀποστόλων, κηρύκων, εὐαγγελιστῶν, μαρτύρων, ὁμολογητῶν, ἐγκρατευτῶν, καὶ παντὸς πνεύματος ἐν πίστει τετελειωμένου. ἐκφώνως.

Ἐξαιρέτως τῆς παναγίας ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

Ὁ χορὸς ψάλλει.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν σὲ τὴν θεοτόκον.

ἢ τὸ τῆς ἡμέρας. Ὁ διάκονος θυμιᾷ γύρωθεν τὴν ἁγίαν τράπεζαν καὶ τὰ δίπτυχα· τῶν τε κεκοιμημένων καὶ ζώντων ὧν βούλεται, μνημονεύει. ὁ δὲ ἱερεὺς κλινόμενος εὔχεται μυστικῶς.

Τοῦ ἁγίου Ἰωάννου τοῦ προφήτου προδρόμου καὶ βαπτιστοῦ· τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων, τοῦ ἁγίου τοῦδε, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν.

καὶ πάντων τῶν ἁγίων σου, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ θεός, καὶ μνήσθητι πάντων τῶν προκεκοιμημένων

ἐπ᾽

ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου.

Ἐνταῦθα ὁ ἱερεὺς μνημονεύει ὧν θέλει, ζώντων καὶ τεθνεότων.

Ὑπὲρ ζώντων λέγει.

Ὑπὲρ σωτηρίας, ἐπισκέψεως, ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ δούλου τοῦ θεοῦ τοῦδε.

Ὑπὲρ τεθνεότων λέγει.

Ὑπὲρ ἀναπαύσεως καὶ ἀφέσεως τῆς ψυχῆς τοῦ δούλου σου ὁ δεῖνος. ἐν τόπῳ φωτεινῷ, ἔνθα ἀπέδρα λύπη, στεναγμὸς, ἀνάπαυσον αὐτὴν ὁ θεὸς ἡμῶν, καὶ ἀνάπαυσον αὐτὴν ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου. Ἔτι παρακαλοῦμέν σε, μνήσθητι κύριε πάσης ἐπισκοπῆς ὀρθοδόξου τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας, παντὸς τοῦ πρεσβυτερίου τῆς ἐν χριστῷ διακονίας, καὶ παντὸς τοῦ ἱερατικοῦ τάγματος. Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῆς οἰκουμένης· ὑπὲρ τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας· ὑπὲρ τῶν ἐν ἁγνείᾳ καὶ σεμνῇ πολιτείᾳ διαγόντων. Ὑπὲρ τῶν πιστοτάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν. δὸς αὐτοῖς κύριε εἰρηνικὸν τὸ βασίλειον, ἵνα καὶ ἡμεῖς ἐν τῇ γαλήνῃ αὐτῶν ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν πάσῃ ἐν εὐσεβείᾳ καὶ σεμνότητι.

Ὁ μὲν διάκονος ἐπιστρέφει πρὸς τὴν θύραν τοῦ ἁγίου βήματος κρατῶν τὸ ὠράριον τοῖς τρισὶν ἄκροις δακτύλοις, καὶ λέγει.

Καὶ πάντων καὶ πασῶν. — Ὁ δὲ χορὸς ψάλλει.

Καὶ πάντων καὶ πασῶν.

Ὁ δὲ ἱερεὺς ἐκφωνεῖ.

Ἐν πρώτοις μνήσθητι κύριε τοῦ ἀρχιεπισκόπου ἡμῶν ὁ δεῖνος. ὃν χάρισαι ταῖς ἁγίαις σου ἐκκλησίαις ἐν εἰρήνῃ σῶον, ἔντιμον, ὑγιῆ, μακροημερεύοντα, ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.

Καὶ ὁ διάκονος πρὸς τῇ θύρᾳ σαὶς λέγει.

Τοῦ ὁ δεῖνος, πανιερωτάτου μητροπολίτου, ἢ ἐπισκόπου, ὅστις ἂν ᾖ. Καὶ ὑπὲρ τοῦ προσκομίζοντος τὰ ἅγια δῶρα ταῦτα, εὐλαβεστάτου ἱερέως ὁ δεῖνος. Ὑπὲρ σωτηρίας τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, καὶ πάντων καὶ πασῶν. ὁ χορός. Καὶ πάντων καὶ πασῶν.

Ο ἱερεὺς ἐπεύχεται μυστικῶς.

Μνήσθητι κύριε τῆς πόλεως ἐν ᾗ παροικοῦμεν, καὶ πάσης πόλεως καὶ χώρας, καὶ τῶν ἐν πίστει οἰκούντων ἐν αὐταῖς. Μνήσθητι κύριε πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν. Μνήσθητι κύριε τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ἐκκλησίαις, καὶ μεμνημένων τῶν πενήτων, καὶ ἐπὶ πάντας ἡμᾶς τὰ ἐλέη σου ἐξαπόστειλον. Ἐκφώνως. Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζειν καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ο χορός. Ἀμήν.

Ο ἱερεὺς ἐπιστρέφει πρὸς τῇ θύρᾳ, καὶ εὐλογῶν λέγει ἐκφώνως.

Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ μετὰ πάντων ἡμῶν. Ο χορός. Καὶ μετὰ τοῦ πνεύματός σου.

Καὶ ὁ διάκονος ἐξέρχεται, εἰ ἔστιν, εἴπου ὁ ἱερεύς. καὶ σαὶς ἐν τῷ συνήθει τόπῳ, λέγει.

Πάντων τῶν ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι τοῦ κυρίου δεηθῶμεν. Ο χορός. Κύριε ἐλέησον. Ο διάκονος. Ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων τιμίων δώρων, τοῦ κυρίου δεηθῶμεν. Ο χορός. Κύριε ἐλέησον. Ο διάκονος. Ὅπως ὁ φιλάνθρωπος θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερὸν αὐ-

τοῦ

τοῦ θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν καὶ τὴν δωρεὰν τοῦ παναγίου πνεύματος, τοῦ κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε ἐλέησον. ὁ διάκονος. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ κυρίου δεηθῶμεν. ὁ διάκονος. Κύριε ἐλέησον.

Ο ἱερεὺς ἐπεύχεται μυστικῶς.

Σοὶ παρακατατιθέμεθα τὴν ζωὴν ἡμῶν ἅπασαν καὶ τὴν ἐλπίδα δέσποτα φιλάνθρωπε, καὶ παρακαλοῦμέν σε καὶ δεόμεθα καὶ ἱκετεύομεν, καταξίωσον ἡμᾶς μεταλαβεῖν τῶν ἐπουρανίων σου καὶ φρικτῶν μυστηρίων ταύτης τῆς ἱερᾶς καὶ πνευματικῆς τραπέζης μετὰ καθαροῦ συνειδότος εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς συγχώρησιν πλημμελημάτων, εἰς πνεύματος ἁγίου κοινωνίαν, εἰς βασιλείας οὐρανῶν κληρονομίαν εἰς παῤῥησίαν τὴν πρός σε, μὴ εἰς κρίμα, ἢ εἰς κατάκριμα. ὁ διάκονος. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι.

Ο χορός. Κύριε ἐλέησον. ὁ διάκονος. Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ κυρίου αἰτησώμεθα. ὁ χορός. Παράσχου κύριε. ὁ διάκονος. Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγὸν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ κυρίου αἰτησώμεθα.

ὁ χορός. Παράσχου κύριε. ὁ διάκονος. Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ κυρίου αἰτησώμεθα. ὁ χορός. Παράσχου κύριε.

ὁ διάκονος. Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ κυρίου αἰτησώμεθα.

ὁ χορός. Παράσχου κύριε. ὁ διάκονος. Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ κυρίου αἰτησώμεθα.

Ὁ χορός. Παράσχου κύριε. ὁ διάκονος. Τὴν ἑνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν τοῦ ἁγίου πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν χριστῷ τῷ θεῷ παραθώμεθα. ὁ χορός. Σοὶ κύριε.

Ἐκφώνως ὁ ἱερεύς.

Καὶ καταξίωσον ἡμᾶς δέσποτα μετὰ παῤῥησίας ἀκατακρίτως τολμᾶν ἐπικαλεῖσθαί σε τὸν ἐπουράνιον θεὸν πατέρα, καὶ λέγειν. ὁ χορός. Πάτερ ἡμῶν.

Ἐκφώνως ὁ ἱερεύς.

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ὁ χορός. Ἀμήν. ὁ ἱερεύς. Εἰρήνη πᾶσιν. ὁ χορός. Καὶ μετὰ τοῦ πνεύματός σου. ὁ διάκονος. Τὰς κεφαλὰς ὑμῶν τῷ κυρίῳ κλίνατε. ὁ χορός. Σοὶ κύριε.

Κλίνας γοῦν ὁ διάκονος μικρὸν τὴν κεφαλὴν, καὶ ὁρῶν τὸν ἱερέα προσκυνοῦντα, προσκυνεῖ καὶ αὐτός. ὁ ἱερεὺς κλινόμενος, ἐπεύχεται μυστικῶς.

Εὐχαριστοῦμέν σοι βασιλεῦ ἀόρατε, ὁ τῇ ἀμετρήτῳ σου δυνάμει τὰ πάντα δημιουργήσας, καὶ τῷ πλήθει τοῦ ἐλέους σου ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα, αὐτὸς δέσποτα οὐρανόθεν ἔπιδε ἐπὶ τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλάς· οὐ γὰρ ἔκλιναν σαρκὶ καὶ αἵματι, ἀλλὰ σοὶ τῷ φοβερῷ θεῷ. σὺ οὖν δέσποτα, τὰ προκείμενα πᾶσιν ἡμῖν εἰς ἀγαθὸν ἐξομάλισον κατὰ τὴν ἑκάστου ἰδίαν χρείαν· τοῖς πλέουσι σύμπλευσον, τοῖς ὁδοιποροῦσι συνόδευσον, τοὺς νοσοῦντας ἴασαι, ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων.

Ἐκφώνως ὁ ἱερεύς.

Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ὁ χορός. Ἀμήν.

Ὁ ἱερεὺς ἐπεύχεται μυστικῶς.

Πρόσχες κύριε Ἰησοῦ χριστὲ ὁ θεὸς ἡμῶν ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου, καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ πατρὶ συγκαθήμενος, καὶ ὧδε ἡμῖν ἀοράτως συνών· καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου σώματός σου, καὶ τοῦ τιμίου αἵματος, καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ.

Εἶτα προσκυνεῖ ὁ ἱερεὺς καὶ ὁ διάκονος ἐν ᾧ εἰσὶ τόπῳ, λέγοντες μυστικῶς τρίς.

Ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.

Καὶ ὁ λαὸς ὁμοίως, πάντες μετ' εὐλαβείας προσκυνοῦσιν. ὅταν δὲ ἴδῃ ὁ διάκονος τὸν ἱερέα ἐκτείνοντα τὰς χεῖρας, καὶ ἁπτόμενον τοῦ ἁγίου ἄρτου πρὸς τὸ ποιῆσαι τὴν ἁγίαν ὕψωσιν, ἐκφωνεῖ.

Πρόσχωμεν. καὶ ὁ ἱερεύς. Τὰ ἅγια τοῖς ἁγίοις. ὁ χορός. Εἷς ἅγιος, εἷς κύριος Ἰησοῦς χριστός, εἰς δόξαν θεοῦ πατρός. Ἀμήν.

Εἶτα ψάλλει ὁ χορὸς τὸ κοινωνικὸν τῆς ἡμέρας ἢ τοῦ ἁγίου. καὶ ὁ διάκονος ζώννυται τὸ ὠράριον αὐτοῦ σταυροειδῶς, καὶ στὰς ἐκ δεξιῶν τοῦ ἱερέως κρατοῦντος τὸν ἄρτον, λέγει.

Μέλισον δέσποτα τὸν ἅγιον ἄρτον.

Ὁ δὲ ἱερεὺς μελίζων αὐτὸν εἰς τέσσαρα, μετὰ προσοχῆς καὶ εὐλαβείας λέγει.

Μελίζεται καὶ διαμερίζεται ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ υἱὸς τοῦ πατρός, ὁ μελιζόμενος, καὶ μὴ διαιρούμενος· ὁ πάντοτε ἐσθιόμενος, καὶ μηδέποτε δαπανώμενος, ἀλλὰ τοὺς μετέχοντας ἁγιάζει.

Τότε λαμβάνει τὸ ἓν μέρος τοῦ ἁγίου ἄρτου, καὶ ἐν τῇ χειρὶ ἔχει. καὶ ὁ διάκονος δεικνύων σὺν τῷ ὠραρίῳ τὸ ἅγιον ποτήριον, λέγει.

Πλήρωσον δέσποτα τὸ ἅγιον ποτήριον.

Ὁ δὲ ἱερεὺς λέγει.

Πλήρωμα πίστεως, πνεύματος ἁγίου.

Καὶ ποιεῖ διὰ σταυροῦ, καὶ ἐμβάλλει εἰς τὸ ἅγιον ποτήριον.

Ὁ διάκονος. Ἀμήν.

Καὶ δεχόμενος τὸ ζέον, λέγει πρὸς τὸν ἱερέα.

Εὐλόγησον δέσποτα τὴν ἁγίαν ζέσιν ταύτην.

Ὁ δὲ ἱερεὺς εὐλογεῖ λέγων.

Εὐλογημένη ἡ ζέσις τῶν ἁγίων σου, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ δὲ διάκονος ἐκχέει σταυροειδῶς ἐνδὸν τοῦ ἁγίου ποτηρίου, λέγων.

Ζέσις πίστεως πλήρης πνεύματος ἁγίου, Ἀμήν.

Καὶ τοῦτο ποιεῖ ἐκ τρίτου· καὶ ἀποτιθέμενος τὸ ζέον, ἵσταται μικρὸν ἄποθεν. ὁ δὲ ἱερεὺς λέγει. Πρόσελθε διάκονε.

Καὶ προσελθὼν ὁ διάκονος ποιεῖ μετάνοιαν εὐλαβῶς, αἰτῶν συγχώρησιν. ὁ δὲ ἱερεὺς κρατῶν τὸν ἅγιον ἄρτον, δίδωσι τῷ διακόνῳ. καὶ ἀσπασάμενος ὁ διάκονος τὴν μεταδιδοῦσαν αὐτῷ χεῖρα, λαμβάνει τὸν ἅγιον ἄρτον, λέγων.

Μετάδος μοι δέσποτα τὸ τίμιον καὶ ἅγιον σῶμα τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ.

Ὁ δὲ ἱερεὺς λέγει.

Μεταδίδωμί σοι τὸ τίμιον καὶ ἅγιον καὶ ἄχραντον σῶμα τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς ζωὴν αἰώνιον.

Καὶ ἀπέρχεται ὄπισθεν τῆς ἱερᾶς τραπέζης, κλίνας τὴν κεφαλήν, καὶ προσεύχεται ὡς ὁ ἱερεύς. ὁμοίως δὲ ὁ ἱερεὺς λαμβάνει τὸν ἅγιον ἄρτον, κλίνας τὴν κεφαλήν, ἔμπροσθεν τῆς ἱερᾶς τραπέζης, καὶ εὔχεται οὕτως.

Πιστεύω κύριε καὶ ὁμολογῶ, ὅτι σὺ εἶ ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, ὁ ἐλθὼν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτος ἐγώ εἰμι. καὶ, Τοῦ δείπνου σου τοῦ μυστικοῦ σήμερον υἱὲ θεοῦ κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω· οὐ φίλημά σοι δώσω καθάπερ Ἰούδας, ἀλλ' ὡς ὁ λῃστὴς ὁμολογῶ σοι, μνήσθητί μου κύριε ἐν τῇ βασιλείᾳ σου. καὶ, Κύριε οὐκ εἰμὶ ἄξιος, ἵνα ὑπὸ τὴν ῥυπαρὰν στέγην τῆς ψυχῆς μου εἰσέλθῃς· ἀλ-

λ' ὡς

λ' ὡς κατεδέξω ἐν σπηλαίῳ καὶ φάτνῃ ἀλόγων ἀνακλιθῆναι, καὶ ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, καὶ τὴν ὁμοίαν μοι πόρνην τὴν ἁμαρτωλὸν προσερχομένην σοι καταδεξάμενος, αὐτὸς καταξίωσον καὶ ἐν τῇ φάτνῃ τῆς ἀλόγου μου ψυχῆς, καὶ ἐν τῷ ἐσπιλωμένῳ μου σώματι εἰσελθεῖν τοῦ νεκροῦ καὶ λεπροῦ. καὶ ὡς οὐκ ἐβδελύξω τὸ στόμα τὸ ῥυπαρὸν τῆς πόρνης καταφιλούσης τοὺς ἀχράντους σου πόδας, οὕτω δέσποτα θεέ μου μὴ βδελύξῃ καὶ ἐμὲ τὸν ἁμαρτωλόν, ἀλλ' ὡς ἀγαθὸς καὶ φιλάνθρωπος ἀξίωσόν με κοινωνὸν γενέσθαι τοῦ παναγίου σώματος καὶ αἵματός σου.

Ὁ θεὸς ἡμῶν ἄνες, ἄφες, συγχώρησόν μοι τῷ ἁμαρτωλῷ τὰ παραπτώματά μου, ὅσα σοι ἥμαρτον, τὰ ἑκούσιά τε καὶ ἀκούσια· εἴτε ἐν γνώσει, εἴτε ἐν ἀγνοίᾳ· εἴτε ἐν λόγῳ, εἴτε ἐν ἔργῳ, εἴτε ἐν ἐπιθυμήσει ἔπραξα· πάντα μοι συγχώρησον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, ταῖς πρεσβείαις τῆς παναχράντου σου καὶ ἀειπαρθένου μητρός, ἀκατάκριτόν με διατήρησον δέξασθαι τὸ τίμιον καὶ ἄχραντον σῶμά σου, εἰς ἴασιν ψυχῆς καὶ σώματος· ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ οὕτω μεταλαμβάνουσι τὸν ἅγιον ἄρτον. ὁμοίως καὶ τὸ ἅγιον ποτήριον. ἐν δὲ μεταλαμβάνειν, πρότερον μὲν ὁ ἱερεὺς τρία ῥοφήματα ἐν μιᾷ ὑποκλίσει· καὶ ἐν μὲν τῷ πρώτῳ ῥοφήματι, λέγει.

Εἰς τὸ ὄνομα τοῦ πατρός. — ἐν δὲ τῷ δευτέρῳ.

Καὶ τοῦ υἱοῦ. — ἐν τῷ τρίτῳ δέ.

Καὶ τοῦ ἁγίου πνεύματος.

Καὶ μετὰ τὴν μετάληψιν, σπογγίζει τῷ καλύμματι τὸ ἅγιον ποτήριον καὶ τὰ ἑαυτοῦ χείλη ἐπιδεξίως ἅμα καὶ εὐλαβῶς, λέγων.

Τοῦτο ἥψατο τῶν χειλέων μου, καὶ ἀφελεῖ τὰς ἀνομίας

μου, καὶ τὰς ἁμαρτίας μου περικαθαρεῖ, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κρατῶν δὲ τὸ ἅγιον ποτήριον, καλεῖ τὸν διάκονον, λέγων.

Διάκονε πρόσελθε.

Καὶ ὁ διάκονος ἔρχεται, καὶ προσκυνεῖ ἅπαξ λέγων.

Ἰδοὺ προσέρχομαι τῷ ἀθανάτῳ βασιλεῖ. καὶ τό, Πιστεύω καὶ ὁμολογῶ. ὅλον. καὶ λέγει ὁ ἱερεύς.

Μεταλαμβάνεις ὁ δοῦλος τοῦ θεοῦ διάκονος ὁ δεῖνα, τὸ τίμιον καὶ ἅγιον σῶμα καὶ αἷμα τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ, εἰς ἄφεσιν τῶν ἁμαρτιῶν σου, καὶ εἰς ζωὴν αἰώνιον.

Μεταλαβόντος δὲ τοῦ διακόνου, λέγει ὁ ἱερεύς.

Τοῦτο ἥψατο τῶν χειλέων σου, καὶ ἀφελεῖ τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου περικαθαρεῖ. ὡς καὶ δι' ἑαυτοῦ εἶπε.

Τότε λαβὼν τὸν ἅγιον δίσκον ὁ διάκονος, ἐπάνω τοῦ ἁγίου ποτηρίου ἀποσπογγίζει τῷ ἁγίῳ σπόγγῳ πάνυ καλῶς καὶ μετὰ προσοχῆς καὶ εὐλαβείας· καὶ σκεπάζει τὸ ἅγιον ποτήριον τῷ καλύμματι. ὁμοίως καὶ ἐπὶ τὸν ἅγιον δίσκον τίθησι τὸν ἀστέρα καὶ τὰ καλύμματα. καὶ ἀνοίγουσι τὴν θύραν τοῦ ἁγίου βήματος. καὶ ὁ διάκονος προσκυνήσας ἅπαξ, λαμβάνει τὸ ποτήριον μετὰ εὐλαβείας, καὶ ἔρχεται εἰς τὴν θύραν, καὶ ὑψῶν τὸ ἅγιον ποτήριον, δείκνυσιν αὐτὸ τῷ λαῷ, λέγων.

Μετὰ φόβου θεοῦ καὶ ἀγάπης προσέλθετε. ὁ χορός. Ἀμήν, ἀμήν, ἀμήν. εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου.

Καὶ ὁ ἱερεὺς εὐλογεῖ τὸν λαόν, λέγων ἐκφώνως.

Σῶσον ὁ θεὸς τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Καὶ ὁ χορός. Εἰς πολλὰ ἔτη δέσποτα.

Καὶ ἐπιστρέφουσιν ὅ,τε διάκονος καὶ ὁ ἱερεὺς εἰς τὴν ἁγίαν τράπεζαν, καὶ θυμιᾷ ὁ ἱερεὺς τρὶς λέγων καθ' ἑαυτόν.

Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

Εἶτα λαβὼν τὸν ἅγιον δίσκον, τίθησιν ἐπὶ τὴν κεφαλὴν τοῦ διακόνου. καὶ ὁ διάκονος λαβὼν αὐτὸν μετ' εὐλαβείας, θεωρῶν ἔξω πρὸς τὴν θύραν, οὐδὲν λέγων ἀπέρχεται εἰς τὴν πρόθεσιν, καὶ ἀποτίθησιν αὐτόν. ὁ δὲ ἱερεὺς προσκυνήσας καὶ λαβὼν τὸ ἅγιον ποτήριον, καὶ ἐπιστραφεὶς πρὸς τὴν θύραν, ὁρᾷ τὸν λαόν, λέγων.

Πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χορός. Ἀμήν.

Ψαλλομένου τοῦ, Πληρωθήτω. ἀποκομίζονται ἐν τῇ προθέσει τὰ ἅγια, προπορευομένου τοῦ διακόνου, λέγοντος τοῦ ἱερέως τὴν εὐχὴν ταύτην μυστικῶς.

Εὐχαριστοῦμέν σοι δέσποτα φιλάνθρωπε, εὐεργέτα τῶν ψυχῶν ἡμῶν, ὅτι καὶ τῇ παρούσῃ ἡμέρᾳ κατηξίωσας ἡμᾶς τῶν ἐπουρανίων σου καὶ ἀθανάτων μυστηρίων· ὀρθοτόμησον ἡμῶν τὴν ὁδόν· στήριξον ἡμᾶς ἐν τῷ φόβῳ σου τοὺς πάντας· φρούρησον ἡμῶν τὴν ζωήν· ἀσφάλισαι ἡμῶν τὰ διαβήματα, εὐχαῖς καὶ ἱκεσίαις τῆς ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων τῶν ἁγίων σου.

Καὶ ὁ μὲν διάκονος θυμιάσας τὰ ἅγια, καὶ τὸ θυμιατὸν ἀποθέμενος, καὶ ἐν τῷ συνήθει τόπῳ στάς, λέγει.

Ὀρθοί, μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων καὶ ζωοποιῶν μυστηρίων, ἀξίως εὐχαριστήσωμεν τῷ κυρίῳ. Ὁ χορός. Κύριε ἐλέησον.

Ὁ διάκονος. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι. Ὁ χορός. Κύριε ἐλέησον.

Ὁ διάκονος. Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ θεῷ παραθώμεθα.

Ὁ χορός. Σοὶ κύριε. Ἐκφώνως ὁ ἱερεύς.

Ὅτι σὺ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χορός. Ἀμήν.

Ὁ διάκονος. Ἐν εἰρήνῃ προέλθωμεν. καὶ αὖθις.
Τοῦ κυρίου δεηθῶμεν.

Εὐχὴ ὀπισθάμβωνος ἐκφωνουμένη παρὰ τοῦ ἱερέως ἔξω τοῦ βήματος.

Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε κύριε, καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς ἐκκλησίας σου φύλαξον, ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ· εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς βασιλεῦσιν ἡμῶν, τῷ στρατῷ, καὶ παντὶ τῷ λαῷ σου, ὅτι πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον, ἄνωθέν ἐστι, καταβαῖνον ἐκ σοῦ, τοῦ πατρὸς τῶν φώτων· καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χορός. Ἀμήν.

Ταύτης τῆς εὐχῆς λεγομένης, ἵσταται ὁ διάκονος ἔμπροσθεν τῶν ἁγίων θυρῶν, καὶ κρατῶν τὸ ὠράριον αὐτοῦ, ὡς πολλάκις εἴρηται, τὴν κεφαλὴν ὑποκλίνει μέχρι συμπληρώσεως τῆς εὐχῆς. καὶ ὁ χορὸς ψάλλει τρὶς τό,

Εἴη τὸ ὄνομα κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. Καὶ τὸν ψαλμόν.
Εὐλογήσω τὸν κύριον. ἢ τοῦ ἁγίου τῆς ἡμέρας.

Εὐχὴ ἐν τῷ συστεῖλαι τὰ ἅγια μυστικῶς.

Τὸ πλήρωμα τοῦ νόμου καὶ τῶν προφητῶν αὐτὸς ὑπάρχων Χριστὲ ὁ θεὸς ἡμῶν, ὁ πληρώσας πᾶσαν πατρικὴν οἰκονομίαν, πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετὰ τὴν εὐχὴν ἐξέρχεται ὁ ἱερεύς, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, δίδωσι τὸ ἀντίδωρον εἶτα ποιεῖ ἀπόλυσιν, λέγων.

Δόξα

Δόξα σοι χριστὲ, ὁ θεὸς ἡμῶν ἡ ἐλπὶς ἡμῶν, δόξα σοι. Ἱ
ὁ χορός. Δόξα πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι, νῦν καὶ
ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ εἰ μὲν ἔστι κυριακὴ, λέγει ὁ ἱερεύς.

Ὁ ἀναστὰς ἐκ νεκρῶν χριστὸς, ὁ ἀληθινὸς θεὸς ἡμῶν.

Εἰ δὲ οὐκ ἔστιν ἀναστάσιμος, λέγει.

Χριστὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ μητρὸς, τῇ διὰ δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τοῦ ἁγίου τῆς ἡμέρας τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ χρυσοστόμου, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων τῶν ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Καὶ εὐλογεῖ τὸν λαὸν, εἰσέρχεται. μετὰ δὲ τὴν ἀπόλυσιν, εἰ οὐκ ἔστι διάκονος, εἰσέρχεται ὁ ἱερεὺς εἰς τὴν πρόθεσιν, καὶ μεταλαμβάνει τὸ ἀποληφθὲν ἐν τῷ ἁγίῳ ποτηρίῳ περισσῶς καὶ εὐλαβῶς· καὶ ἀποπλύνει τὸ ἅγιον ποτήριον τρὶς τῷ οἴνῳ καὶ τῷ ὕδατι. καὶ ὁρᾷ μὴ μείνῃ τὸ λεγόμενον μαργαρίτης. τότε λέγει.

Νῦν ἀπολύεις τὸν δοῦλόν σου δέσποτα. ὅλον.

Καὶ συστέλλει τὰ ἅγια, τὸ ποτήριον, τὸν δίσκον μετὰ τῶν καλυμμάτων κατὰ τὸ ἔθος. εἰ δὲ ἔστι διάκονος, ὁ αὐτὸς ποιεῖ. ὁ δὲ ἱερεὺς ἀπέρχεται ἐν τῷ σκευοφυλακίῳ, καὶ ἐκδύει ἑαυτὸν, λέγων τρὶς τό,

Ἅγιος ὁ θεός. καὶ τό, Παναγία τριάς. καὶ τό, Πάτερ ἡμῶν.

Τότε λέγει τὸ ἀπολυτίκιον τοῦ Χρυσοστόμου.

Ἡ τοῦ στόματός σου καθάπερ πυρσὸς ἐκλάμψασα χάρις, τὴν οἰκουμένην ἐφώτισεν, ἀφιλαργυρίας τῷ κόσμῳ θησαυροὺς ἐναπέθετο, τὸ ὕψος ἡμῖν τῆς ταπεινοφροσύνης ὑπέδειξε. ἀλλὰ σοῖς λόγοις παιδεύων πάτερ Ἰωάννη χρυσόστομε, πρέσβευε χριστῷ τῷ θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Μετέπειτα, τὸ κοντάκιον.

Ἐκ τῶν χειλέων σου, ὥσπερ πυρσὸς ἐκλάμψασα ἡ χάρις, τὴν οἰκουμένην ἐφώτισεν· …

ἘΚ τῶν ὑψωμάτων ἐδέξω τὴν θείαν χάριν, καὶ διὰ τῶν σῶν χειλέων πάντας ἐκδιδάσκεις προσκυνεῖν ἐν τριάδι τὸν ἕνα θεὸν Ἰωάννη χρυσόστομε παμμακάριστε ὅσιε· ὑπαξίως εὐφημοῦμέν σε· ὑπάρχεις γὰρ καθηγητὴς ὡς τὰ θεῖα σαφῶν.

Ἡ λέγει τῆς ἡμέρας, ἢ τὸ ἀναστάσιμον, εἰ ἔστι κυριακή· καὶ τὴν ἀπόλυσιν, ὡς ἔθος, μυστικῶς. τότε ἐξέρχεται εἰς τὰς θύρας τοῦ ἁγίου βήματος, ἐνδεδυμένος τὸ ἱμάτιον αὐτοῦ τὸ ἱερατικὸν, καὶ προσκυνεῖ λέγων τό,

Ὁ θεὸς ἱλάσθητί μου.

Καὶ ἐπιστρέφων πρὸς τὸν λαὸν, εὐλογεῖ λέγων ἐκφώνως.

Φυλάξαι κύριος ὁ θεὸς πάντας ὑμᾶς τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ δὲ λαὸς, κλίνοντες τὰς κεφαλὰς πρὸς τὸν ἱερέα, λέγουσι τό,

Δι' εὐχῶν τῶν ἁγίων πατέρων.

Καὶ ἀπέρχονται ἐν εἰρήνῃ σὺν θεῷ ἁγίῳ.

ΕΚ ΤΗΣ ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ ΑΡΕΟΠΑΓΙΤΟΥ ΕΚΚΛΗΣΙΑ-στικῆς ἱεραρχίας, περὶ τῶν ἐν τῇ συνάξει τελουμένων.

Ἐν τέλει δὲ πάντων ὁ ἱεράρχης ἐπὶ τὴν ἱερωτάτην εὐχαριστίαν καλεῖ τὸν τετελεσμένον, καὶ τῆς τῶν τελεστικῶν μυστηρίων αὐτῷ μεταδίδωσι κοινωνίας. ἀλλ' εὖγε ὅτι ταύτης ἐμνήσθημεν, ἣν οὐ θεμιτὸν ἐμοὶ παραδραμόντι, τῶν ἱεραρχικῶν τι πρὸ ταύτης ἕτερον ὑμνῆσαι· καὶ γάρ ἐστι κατὰ τὸν κλεινὸν ἡμῶν καθηγεμόνα, τελετῶν τελετή· καὶ χρὴ πρὸ τῶν ἄλλων αὐτὴν ἱερογραφικῶς ἐκθεμένους, ἐκ τῆς ἐνθέου κατὰ τὰ λόγια καὶ ἱεραρχικῆς ἐπιστήμης, ἐπὶ τὴν ἱερὰν αὐτῆς ἀναχθῆναι τῷ θεαρχικῷ πνεύματι θεωρίαν. καὶ πρῶτόν γε τοῦτο ἱερῶς ἐποπτεύσωμεν, ὅτου δὴ ἕνεκα τὸ κοινὸν καὶ ταῖς ἄλλαις ἱεραρχικαῖς τελεταῖς ἐκκρίτως αὐτῇ παρὰ τὰς λοιπὰς ἀνατέθειται, καὶ ἑνιαίως ἀνηγόρευται, κοινωνία τε καὶ σύναξις, ἑκάστης ἱεροτελεστικῆς πραγματείας, καὶ τὰς μεριστὰς ἡμῶν ζωὰς εἰς ἑνοειδῆ θέωσιν συναγούσης, καὶ τῇ τῶν διαιρετῶν θεοειδεῖ συμπτύξει τὴν πρὸς τὸ ἓν κοινωνίαν καὶ ἕνωσιν δωρουμένης. φαμὲν δὲ, ὅτι ταῖς τῶν ἄλλων ἱεραρχικῶν συμβόλων μεθέξεσιν, ἡ τελείωσις ἐκ τῶν ταύτης θεαρχικῶν καὶ τελειωτικῶν ἐστι δωρεῶν· οὐ γὰρ ἔνεστι σχεδὸν τινὰ τελεσθῆναι τελετὴν ἱεραρχικήν, μὴ τῆς θειοτάτης εὐχαριστίας ἐν κεφαλαίῳ τῶν καθ' ἕκαστα τελουμένων, τὴν ἐπὶ τὸ ἓν τοῦ τελεσθέντος ἱερουργούσης συναγωγήν, καὶ τῇ θεοπαραδότῳ δωρεᾷ τῶν τελειωτικῶν μυστηρίων τελεσιουργούσης αὐτοῦ τὴν πρὸς θεὸν κοινωνίαν. εἰ τοίνυν ἑκάστη τῶν ἱεραρχικῶν τελετῶν ἀτελὴς μένουσα, τὴν πρὸς τὸ ἓν ἡμῶν κοινωνίαν καὶ σύναξιν οὐ τελεσιουργήσει, καὶ τὸ εἶναι τελετὴ διὰ τὸ ἀτέλεστον ἀφῄρημένη· τὸ δὲ τέλος ἁπάσης καὶ τὸ κεφάλαιον, ἡ τῶν θεαρχικῶν μυστηρίων τῷ τελουμένῳ μετάδοσις· εἰκότως ἡ ἱεραρχικὴ σύνεσις ἐπωνυμίαν αὐτῇ κυρίαν ἐκ τῆς τῶν πραγμάτων ἀληθείας ἐφεῦρεν. οὕτω δὴ καὶ τὴν ἱερὰν τῆς θεογενεσίας τελετήν, ἐπεὶ τοῦ πρώτου φωτὸς μεταδίδωσι, καὶ πασῶν ἀρχὴ τῶν θείων φωταγωγιῶν, ἐκ τοῦ τελουμένου τὴν ἀληθῆ τοῦ φωτίσματος ἐπωνυμίαν ὑμνοῦμεν. εἰ γὰρ καὶ πᾶσι κοινὸν τοῖς ἱεραρχικοῖς τὸ φωτὸς ἱεροῦ μεταδιδόναι τοῖς τελουμένοις· ἀλλ' αὕτη τὸ πρώτως ἰδεῖν ἐδωρήσατό μοι, καὶ διὰ τοῦ ταύτης ἀρχικωτάτου φωτὸς, ἐπὶ τὴν τῶν ἄλλων ἱερῶν ἐποψίαν χειραγωγοῦμαι. ταῦτα δὲ εἰπόντες, ἀνασκεψώμεθα καὶ κατίδωμεν ἱεραρχικῶς τὴν καθ' ἕκαστον

ἀκριβῆ τῆς ἁγιωτάτης τελετῆς ἱερουργίας καὶ θεωρίας.

ΜΥΣΤΗΡΙΟΝ ΣΥΝΑΞΕΩΣ ΕΙΤ' ΟΥΝ ΚΟΙΝΩΝΙΑΣ.

Ο ΜΕΝ ἱεράρχης εὐχὴν ἱερὰν ἐπὶ τοῦ θείου θυσιαστηρίου τελέσας, ἐξ αὐτοῦ τοῦ θυμιᾶν ἀρξάμενος, ἐπὶ πᾶσαν ἔρχεται τὴν τοῦ ἱεροῦ χώρου περιοχήν· ἀνελθὼν δὲ πάλιν ἐπὶ τὸ θεῖον θυσιαστήριον, ἀπάρχεται τῆς ἱερᾶς τῶν ψαλμῶν μελῳδίας, συναδούσης αὐτῷ τὴν ψαλμικὴν ἱερολογίαν ἁπάσης τῆς ἐκκλησιαστικῆς διακοσμήσεως. ἑξῆς δὲ διὰ τῶν λειτουργῶν ἡ τῶν ἁγιογράφων δέλτων ἀνάγνωσις ἀκολούθως γίνεται. καὶ μετὰ ταῦτα ἔξω γίνονται τῆς ἱερᾶς περιοχῆς οἱ κατηχούμενοι, καὶ πρὸς αὐτοῖς οἱ ἐνεργούμενοι, καὶ οἱ ἐν μετανοίᾳ ὄντες. μένουσι δὲ οἱ τῆς τῶν θείων ἐποψίας καὶ κοινωνίας ἄξιοι. τῶν λειτουργῶν δὲ, οἱ μὲν ἑστᾶσι παρὰ τὰς τοῦ ἱεροῦ πύλας συγκεκλεισμένας· οἱ δὲ ἄλλο τι τῶν τῆς οἰκείας τάξεως ἐνεργοῦσιν· οἱ δὲ τῆς λειτουργικῆς διακοσμήσεως ἔκκριτοι, σὺν τοῖς ἱερεῦσιν ἐπὶ τοῦ θείου θυσιαστηρίου προτιθέασι τὸν ἱερὸν ἄρτον, καὶ τὸ τῆς εὐλογίας ποτήριον, προομολογηθείσης ὑπὸ παντὸς τοῦ τῆς ἐκκλησίας πληρώματος τῆς καθολικῆς ὑμνολογίας. πρὸς οἷς ὁ θεῖος ἱεράρχης εὐχὴν ἱερὰν τελεῖ, καὶ τὴν ἁγίαν εἰρήνην ἅπασι διαγγέλλει. καὶ ἀσπασαμένων ἀλλήλοις ἁπάντων, ἡ μυστικὴ τῶν ἱερῶν πτυχῶν ἀνάρρησις ἐπιτελεῖται. καὶ νιψαμένων τὰς χεῖρας ὕδατι τοῦ ἱεράρχου καὶ τῶν ἱερέων, ὁ μὲν ἱεράρχης ἐν μέσῳ τοῦ θείου θυσιαστηρίου καθίσταται, περιεστᾶσι δὲ μόνοι μετὰ τῶν ἱερέων οἱ τῶν λειτουργῶν ἔκκριτοι. καὶ τὰς ἱερὰς θεουργίας ὁ ἱεράρχης ὑμνήσας, ἱερουργεῖ τὰ θειότατα, καὶ ὑπ' ὄψιν ἄγει τὰ ὑμνημένα διὰ τῶν ἱερῶς προκειμένων συμβόλων· καὶ τὰς δωρεὰς τῶν θεουργιῶν ὑποδείξας, εἰς κοινωνίαν αὐτῶν ἱερῶς αὐτός τε ἔρχεται, καὶ τοὺς ἄλλους προτρέπεται. μεταλαβὼν δὲ καὶ μεταδοὺς τῆς θεαρχικῆς κοινωνίας, εἰς εὐχαριστίαν ἱερὰν καταλήγει, τῶν πολλῶν μὲν εἰς μόνα τὰ θεῖα σύμβολα παρακυψάντων, αὐτὸς δὲ ἀεὶ τῷ θεαρχικῷ πνεύματι πρὸς τὰς ἁγίας τῶν τελουμένων ἀρχὰς, ἐν μακαρίοις καὶ νοητοῖς θεάμασιν, ἱεραρχικῶς, ἐν καθαρότητι τῆς θεοειδοῦς ἕξεως ἀναγομένου.

ΘΕΩΡΙΑ.

ΔΕΥΡΟ δὴ οὖν ὦ παῖ καλὲ, μετὰ τὰς εἰκόνας, ἐν τάξει καὶ ἱερῶς ἐπὶ τὴν θεοειδῆ τῶν ἀρχετύπων ἀλήθειαν. ἐκεῖνο τοῖς ἔτι τελουμένοις εἰς ἐναρμόνιον αὐτῶν ψυχαγωγίαν εἰπὼν, ὡς οὐδὲ τῶν συμβόλων ἡ ποικίλη καὶ ἱερὰ σύνθεσις, ἀθεώρητος αὐτοῖς ὑπάρχει, κἂν μέχρι τῶν ἐκτὸς φαινομένη μόνον. αἱ μὲν γὰρ ἱερώταται τῶν λογίων ᾠδαὶ καὶ ἀναγνώσεις, διδασκαλίαν αὐτοῖς ἐναρέτου ζωῆς ὑφηγοῦνται, καὶ πρό γε τούτου, τὴν παντελῆ τῆς φθορο-

ποιοῦ

ποιοῦ κακίας ἀποκάθαρσιν· ἡ δὲ θειοτάτη τοῦ ἑνὸς καὶ τοῦ αὐτοῦ καὶ ἄρτου καὶ ποτηρίου κοινὴ καὶ εἰρηναία μετάδοσις, ὁμοήθη θείαν αὐτοῖς ἔνθεον ὡς ὁμοτρόποις νομοθετεῖ· καὶ τοῦ θειοτάτου δείπνου καὶ ἀρχισυμβόλου τῶν τελουμένων εἰς μνήμην ἱερὰν ἄγει· καθὸ καὶ αὐτὸς ὁ τῶν συμβόλων δημιουργὸς ἀποκλείει δικαιότατα τὸν οὐχ ὁσίως αὐτῷ καὶ ὁμοτρόπως τὰ ἱερὰ συνδειπνήσαντα, διδάσκων σαφῶς τε ἅμα καὶ θεοπρεπῶς, ὡς ἡ καθ᾽ ἕξιν ἀληθὴς ἐπὶ τὰ θεῖα προσέλευσις, τὴν πρὸς τὸ ὅμοιον αὐτῶν κοινωνίαν τοῖς προσιοῦσι χαρίζεται. Ταῦτα μὲν οὖν ὡς ἔφην, ἐπὶ τὰ τῶν ἀδύτων προπύλαια καλῶς διαγεγραμμένα, τοῖς ἀτελέσιν ἔτι πρὸς θεωρίαν αὐτάρκη καταλιπόντες, εἰσέλθωμεν ἀπὸ τῶν αἰτιατῶν εἰς τὰ αἴτια· κατὰ τὴν ἱερὰν ἡμῶν σύναξιν, καὶ τὴν εὐπρεπῆ τῶν νοητῶν Ἰησοῦ τοῦ φωταγωγοῦντος ὀψόμεθα θεωρίαν, τὸ μακάριον ἀποστίλβουσαν ἐμφανῶς τῶν ἀρχετύπων κάλλος. ἀλλ᾽ ὦ θειοτάτη καὶ ἱερὰ τελετή, τὰ περικείμενά σοι συμβολικῶς ἀμφιέσματα τῶν αἰνιγμάτων ἀποκαλυψαμένη, τηλαυγῶς ἡμῖν ἀναδείχθητι, καὶ τὰς νοερὰς ἡμῶν ὄψεις, ἑνιαίου καὶ ἀπερικαλύπτου φωτὸς ἀποπλήρωσον. δεῖ δὴ οὖν ἡμᾶς ἐντὸς παρεῖναι τῶν πολυιέρων ὡς οἰόμεθα, καὶ τὸ νοητὸν τοῦ πρώτου τῶν ἀγαλμάτων ἀπογυμνώσαντας, εἰς τὸ θεοειδὲς αὐτοῦ κάλλος ἐνατενίσαι, καὶ τὸν ἱεράρχην ἐνθέως ἰδεῖν ἀπὸ τοῦ θείου θυσιαστηρίου μέχρι τῶν ἐσχάτων τοῦ ἱεροῦ μετ᾽ εὐκοσμίας ἰόντα, καὶ πάλιν ἔσω αὐτοῦ τελειωτικῶς ἀποκαθιστάμενον· ἥτε γὰρ ὑπὲρ πάντα θεαρχικὴ μακαριότης, εἰ καὶ ἀγαθότητι θείᾳ πρόεισιν εἰς τὴν τῶν μετεχόντων αὐτῆς ἱερὰν κοινωνίαν, ἀλλ᾽ οὐκ ἔξω τῆς κατ᾽ οὐσίαν ἀκινήτου στάσεως καὶ ἱδρύσεως γίνεται. πᾶσι δὲ τοῖς θεοειδέσιν ἀναλόγως ἐλλάμπει, περὶ ἑαυτὴν ὄντως οὖσα, καὶ τῆς οἰκείας ὅλως οὐ παρακινουμένη ταυτότητος. ὡσαύτως ἡ θεία τῆς συνάξεως τελετή, καίπερ ἑνιαίαν καὶ ἁπλῆν ἔχουσα καὶ συνεπτυγμένην ἀρχήν, εἰς τὴν ἱερὰν ποικιλίαν τῶν συμβόλων φιλανθρώπως πληθύνεται, καὶ μέχρι πάσης χωρεῖ τῆς ἱεραρχικῆς εἰκονογραφίας· ἀλλ᾽ ἑνοειδῶς ἐκ τούτων αὖθις εἰς τὴν οἰκείαν μονάδα συνάγεται, καὶ ἑνοποιεῖ τοὺς ἐπ᾽ αὐτὴν ἱερῶς ἀναγομένους. κατὰ τὸν αὐτὸν δὴ θεοειδῆ τρόπον ὁ θεῖος ἱεράρχης, εἰ καὶ τὴν ἑνιαίαν αὐτοῦ τῆς ἱεραρχίας ἐπιστήμην ἀγαθοειδῶς εἰς τοὺς ὑποβεβηκότας κατάγει, τοῖς τῶν ἱερῶν αἰνιγμάτων πλήθεσι χρώμενος, ἀλλ᾽ αὖθις ὡς ἀπόλυτος καὶ τοῖς ἥττοσιν ἀκατάσχετος, εἰς τὴν οἰκείαν ἀρχὴν ἀμειώτως ἀποκαθίσταται, καὶ τὴν εἰς τὸ ἓν ἑαυτοῦ νοερὰν ποιησάμενος εἴσοδον, ὁρᾷ καθαρῶς τοὺς τῶν τελουμένων ἑνοειδεῖς λόγους, τὸ ἐπὶ τὰ δεύτερα φιλανθρώπου προόδου τέλος, τὴν εἰς τὰ πρῶτα θειοτέραν ἐπιστροφὴν ποιούμενος. ἡ δὲ τῶν ψαλμῶν ἱερολογία, συνουσιωμένη πᾶσι σχεδὸν τοῖς ἱεραρχικοῖς μυστηρίοις, οὐκ ἤμελλεν ἀπηρτῆσθαι τοῦ πάντων ἱεραρχικωτάτου. πᾶσα μὲν ἱερὰ καὶ ἁγιόγραφος δέλτος, ἡ τὴν ἐκ θεοῦ τῶν ὄντων γενητὴν ὕπαρξίν τε καὶ

διακόσμησιν, ἢ τὴν νομικὴν ἱεραρχίαν καὶ πολιτείαν, ἢ τῶν τοῦ θείου λαοῦ κληροδοσιῶν διανεμήσεις καὶ κατασχέσεις· ἢ κριτῶν ἱερῶν, ἢ βασιλέων σοφῶν, ἢ ἱερέων ἐνθέων σύνεσιν· ἢ παλαιῶν ἀνδρῶν ἐν ποικιλίᾳ καὶ πλήθει τῶν ἀνιώντων, ἀκατάσειστον ἐν καρτερίᾳ φιλοσοφίαν· ἢ τῶν περικλεῶν σοφὰς ὑποθήκας, ἢ θείων ἐρώτων ᾄσματα, καὶ ἐνθέους εἰκόνας· ἢ τῶν ἐσομένων τὰς ὑποφητικὰς προαναρρήσεις, ἢ τὰς ἀνδρικὰς Ἰησοῦ θεουργίας, ἢ τὰς τῶν αὐτοῦ μαθητῶν θεοπαραδότους καὶ θεομιμήτους πολιτείας, καὶ ἱερὰς διδασκαλίας· ἢ τὴν κρυφίαν καὶ μυστικὴν ἐποψίαν τοῦ τῶν μαθητῶν ἀγαπητοῦ καὶ θεσπεσίου· ἢ τὴν ὑπερκόσμιον Ἰησοῦ θεολογίαν, τοῖς πρὸς θέωσιν ἐπιτηδείοις ὑφηγήσατο, καὶ ταῖς ἱεραῖς τῶν τελετῶν καὶ θεοειδέσιν ἀναγωγαῖς συνερρίζωσεν. ἡ δὲ τῶν θείων ᾠδῶν ἱερογραφία, σκοπὸν ἔχουσα τὰς θεολογίας τε καὶ θεουργίας ἁπάσας ὑμνῆσαι, καὶ τὰς τῶν θείων ἀνδρῶν ἱερολογίας τε καὶ ἱερουργίας αἰνέσαι, καθολικὴν ποιεῖται τῶν θείων ᾠδὴν καὶ ἀφήγησιν, πρὸς πάσης ἱεραρχικῆς τελετῆς ὑποδοχὴν καὶ μετάδοσιν, ἕξιν οἰκείαν ἐμποιοῦσα τοῖς ἐνθέως αὐτὴν ἱερολογοῦσιν. ὅταν οὖν ἡ περιεκτικὴ τῶν πανιέρων ὑμνολογία, τὰς ψυχικὰς ἡμῶν ἕξεις ἐναρμονίως διαθῇ πρὸς τὰ μικρὸν ὕστερον ἱερουργηθησόμενα, καὶ τῇ τῶν θείων ᾠδῶν ὁμοφωνίᾳ, τὴν πρὸς τὰ θεῖα καὶ ἑαυτοὺς καὶ ἀλλήλους ὁμοφροσύνην, ὡς μιᾷ καὶ ὁμολόγῳ τῶν ἱερῶν χορείᾳ νομοθετήσῃ, τὰ συντετμημένα καὶ συνεσκιασμένα μᾶλλον ἐν τῇ νοερᾷ τῶν ψαλμῶν ἱερολογίᾳ, διὰ πλειόνων καὶ σαφεστέρων εἰκόνων καὶ ἀναρρήσεων εὐρύνεται ταῖς ἱερωτάταις τῶν ἁγιογράφων συντάξεων ἀναγνώσεσιν. ἐν ταύταις ὁ βλέπων ἱερῶς, ὄψεται τὴν ἑνοειδῆ καὶ μίαν σύμπνοιαν, ὡς ὑφ᾽ ἑνὸς τοῦ θεαρχικοῦ πνεύματος κεκινημένην· ὅθεν εἰκότως ἐν κόσμῳ μετὰ τὴν ἀρχαιοτέραν παράδοσιν ἡ καινὴ διαθήκη κηρύττεται, τῆς ἐνθέου καὶ ἱεραρχικῆς τάξεως, ἐκεῖνο οἶμαι δηλούσης, ὡς ἡ μὲν ἔφη τὰς ἐσομένας Ἰησοῦ θεουργίας, ἡ δὲ ἐτέλεσε· καὶ ὡς, ἐκείνη μὲν ἐν εἰκόσι τὴν ἀλήθειαν ἔγραψεν, αὕτη δὲ παροῦσαν ὑπέδειξε· τὰς γὰρ ἐκείνης προαναρρήσεις ἡ κατὰ ταύτην τελεσιουργία τὴν ἀλήθειαν ἐπιστώσατο, καὶ ἔστι τῆς θεολογίας ἡ θεουργία συγκεφαλαίωσις. τούτων, οἱ μὲν ἀπερισάλπιγκτοι καθόλου τῶν ἱερῶν τελετῶν, οὐδὲ τὰς εἰκόνας ὁρῶσιν, ἀναιδῶς ἀπειπάμενοι τὴν σωτηριώδη τῆς θεογενεσίας μύησιν, καὶ τοῖς λογίοις ὀλεθρίως ἀντιφθεγξάμενοι τό, ὁδούς σου εἰδέναι οὐ βούλομαι. τοὺς δὲ κατηχουμένους, ἐνεργουμένους τε, καὶ τοὺς ἐν μετανοίᾳ ὄντας, ὁ τῆς ἁγίας ἱεραρχίας θεσμός, ἐφίησι μὲν ἐπακοῦσαι τῆς ψαλμικῆς ἱερολογίας, καὶ τῆς ἐνθέου τῶν πανιέρων γραφῶν ἀναγνώσεως· εἰς δὲ τὰς ἑξῆς ἱερουργίας καὶ θεωρίας οὐ συγκαλεῖται τούτους, ἀλλὰ τοὺς τελείους τῶν τελεσιουργῶν ὀφθαλμούς. ἔστι γὰρ ἡ θεοειδὴς ἱεραρχία δικαιοσύνης ἱερᾶς ἀνάπλεως, καὶ τὸ κατ᾽ ἀξίαν ἑκάστῳ σωτηρίως ἀπονέμει, τὴν ἐναρμόνιον ἑκάστου τῶν θείων μέθεξιν ἐν συμμετρίᾳ καὶ ἀνα-

ἀναλογίαν κατὰ τὸ θεμιτὸν ἱερῶς διωρισμένην. ἡ μὲν οὖν ἐσχάτη τοῖς κατηχουμένοις ἀπονενέμηται τάξις· εἰσὶ γὰρ ἀμέθεκτοι καὶ ἀμύητοι παντὸς ἱεραρχικοῦ τελεστηρίου· μηδὲ τὴν κατὰ θείαν ἀπότεξιν ἔνθεον ἐσχηκότες ὕπαρξιν· ἀλλ' ἔτι πρὸς τῶν πατρικῶν λογίων μαιευόμενοι, καὶ ζωοποιοῖς μορφώμασι διαπλαττόμενοι, πρὸς τὴν ἐκ θεογενεσίας ἀρχίζωον καὶ ἀρχίφωτον εὐμακαρίαν διαγωγήν. ὥσπερ οὖν εἰ ἀτέλεστα καὶ ἀμόρφωτα προεκπέσοι τὰ κατὰ σάρκα βρέφη τῆς οἰκείας μαιεύσεως, ἀμβλωθείη καὶ ἐκτρώματα, τὴν ἀγέννητον καὶ ἄζωον καὶ ἀφώτιστον ἐπὶ γῆς ἀπόπτωσιν ἕξει, καὶ οὐκ ἄν τις εὖ φρονῶν εἴποι πρὸς τὸ φαινόμενον ἀποσκοπῶν, ἐπεὶ τὸ φῶς αὐτὰ παραθλῶσαι τοῦ κατὰ γαστέρα σκότους ἀπαλλαγέντα· φαίη γὰρ ἂν ἡ τῶν σωμάτων ἐπιστημονικὴ περὶ ταῦτα ἰατρική, τὸ φῶς ἐνεργῆσαι εἰς τὰ δεκτικὰ τοῦ φωτός. οὕτω καὶ τῶν ἱερῶν ἡ πάνσοφος ἐπιστήμη, πρῶτα μὲν αὐτοὺς τῇ τῶν μορφωτικῶν καὶ ζωοποιῶν λογίων εἰσαγωγῇ τροφῇ μαιεύεται, τελεσφορήσασα δὲ τὴν πρὸς θεογενεσίαν αὐτῶν ὑπόστασιν, ἐνδίδωσι σωτηρίως αὐτοῖς ἐν τάξει τὴν πρὸς τὰ φωτοειδῆ καὶ τελεσιουργικὰ κοινωνίαν. νῦν δὲ ὡς ἀτελέστων ἀποδιαστέλλει τὰ τέλεια, τῆς τε εὐκοσμίας τῶν ἱερῶν προμηθουμένη, καὶ τῆς τῶν κατηχουμένων ἐν θεοειδεῖ τῶν ἱεραρχικῶν τάξει μαιεύσεως καὶ ζωῆς. ἡ δὲ τῶν ἐνεργουμένων πληθύς, ἀνίερος μὲν καὶ αὐτή, δευτέρα δὲ πρὸς τὸ ἄνω τῆς τῶν κατηχουμένων ἐστὶν ἐσχατιᾶς· οὐδὲ γάρ ἐστιν ὡς οἶμαι τοῦ παντελῶς ἀμυήτου καὶ τῶν θείων τελετῶν ἄκρως ἀκοινωνήτου, τὸ μετουσίαν τινὰ τῶν ἱερωτάτων ἐσχηκὸς τελεστηρίων. ἔτι δὲ ταῖς ἐναντίαις ἢ θέλξεσιν ἢ ταραχαῖς ἐνεχόμενον· ἀλλὰ καὶ πρὸς αὐτοὺς ἡ τῶν παναγίων θέα καὶ κοινωνία συστέλλεται. καὶ μάλα γε εἰκότως· εἰ γάρ ἐστιν ἀληθὲς ὡς ὁ καθόλου θεῖος ἀνήρ, ὁ τῶν θείων ἄξιος κοινωνός, ὁ πρὸς τὸ τοῦ κατ' αὐτὸν θεοειδοῦς ἄκρον ἐν παντελέσι καὶ τελειωτικαῖς θεώσεσιν ἀνηγμένος, οὐδὲ τὰ σαρκὸς ἐνεργήσει παρὰ τὰ κατὰ φύσιν ἀναγκαιότατα, καὶ τοῦτο εἰ τύχοι παρέργως, ναὸς δὲ ἅμα καὶ ὀπαδὸς ἐν τῇ κατ' αὐτὸν ἀκροτάτῃ θεώσει τοῦ θεαρχικοῦ πνεύματος ἔσται, τῷ ὁμοίῳ τὸ ὅμοιον ἐνιδρύων, οὐκ ἂν ὁ τοιοῦτος ποτὲ πρὸς τῶν ἐναντίων ἐνεργηθείη φαντασιῶν ἢ δειμάτων· γελάσεται δὲ αὐτά, καὶ προσιόντα καταπαλαίσει, καὶ ἐνδιώξεται, καὶ δράσει μᾶλλον ἢ πείσεται· καὶ πρὸς τὴν τῆς οἰκείας ἕξεως ἀπαθῆ καὶ ἀνένδοτον, καὶ ἑτέροις ἰατρὸς ὀφθήσεται τῶν τοιούτων ἐνεργημάτων. οἶμαι δὲ ἐγὼ πρὸς τούτῳ, μᾶλλον δὲ οἶδα σαφῶς, ὡς ἡ τῶν ἱεραρχικῶν ἀμιγεστάτη διάκρισις περὶ τούτων οἶδεν ἐνεργουμένους ἐναγεστάτην ἐνέργειαν, ὅσοι τῆς θεοειδοῦς ἀποστάντες ζωῆς, ὁμόφρονές τε καὶ ὁμότροποι τοῖς ὀλεθρίοις γίγνονται δαίμοσι, τὰ μὲν ὄντως ὄντα καὶ ἀθανάτως κτητά, καὶ αἰωνίως ἡδέα, δι' ἐσχάτην καὶ ἑαυτοῖς ὀλέθριον ἀνοησίαν ἀποστρεφόμενοι· τὴν πρόσυλον δὲ καὶ πολυπαθεστάτην ἀλλοίωσιν, καὶ τὰς ὀλλυμένας καὶ φθοροποιοὺς ἡδονάς, καὶ τὴν ἀβέβαιον ἐν

τοῖς ἀλλοτρίοις, οὐκ οὖσιν, ἀλλὰ δοκοῦσιν εὐπάθειαν ἐπιθυμοῦντες καὶ ἐνεργοῦντες. πρῶτοι δὲ οὖν οὗτοι καὶ κυριώτερον ἐκείνων ὑπὸ τῆς τοῦ λειτουργοῦ διακριτικῆς φωνῆς ἀφορίζεσθαι· οὐ γὰρ θεμιτὸν αὐτοῖς ἑτέρου τινὸς ἱεροῦ μεταλαχεῖν, ἢ τῆς τῶν λογίων ἐπιστρεπτικῆς ἐπὶ τὰ κρείττω διδασκαλίας· εἰ γὰρ ἡ τῶν θείων ὑπερκόσμιος ἱερουργία, καὶ τοὺς ἐν μετανοίᾳ, καὶ τοὺς πρὸς αὐτὴν ἤδη γενομένους ἀποκρύπτεται, τὴν μὴ παντελῶς ἱερωτάτην οὐ προσιεμένη, πρὸς σφᾶς δὲ καὶ τοῦτο παναγίως, ὅτι καὶ τοῖς κατά τι πρὸς τὸ τῆς θεοειδοῦς ἄκρον ἀτελῶς ἐξασθενοῦσιν, ἀθέατός εἰμι καὶ ἀκοινώνητος· ἀποσοβεῖ γὰρ ἡ κατὰ πάντα ἀμιγεστάτη φωνὴ καὶ τοὺς μὴ δυναμένους συνδεθῆναι τοῖς τῶν ἁγιωτάτων ἀξίως κοινωνοῖς, πολλῷ γε μᾶλλον ἡ τῶν ἐμπαθῶν ἐνεργουμένων πληθὺς ἀνίερος ἔσται, καὶ πάσης ἀλλοτρία τῆς τῶν ἱερῶν ἐποψίας καὶ κοινωνίας· ἐπειδὴ τοῦ θείου γεγόνασιν ἔξω ναοῦ, καὶ τῆς ὑπερκειμένης αὐτοῖς ἱερουργίας, οἱ τῶν τελετῶν ἀμύητοι καὶ ἀτέλεστοι· καὶ πρὸς αὐτοῖς οἱ τῆς ἱερᾶς ἀποστάται ζωῆς· ἑπομένως τε τούτοις οἱ πρὸς τὰ τῶν ἐναντίων δείματά τε καὶ φάσματα δι' ἀνανδρίαν εὐπαθεῖς, ὡς οὐκ ἀφικόμενοι διὰ τῆς πρὸς τὰ θεῖα συντόνου καὶ ἀνενδότου συννεύσεως, ἐπὶ τὸ τῆς θεοειδοῦς ἕξεως ἀκίνητον καὶ δραστήριον· εἶτα πρὸς αὐτοῖς, οἱ τῆς ἐναντίας μὲν ἀποστάντες ζωῆς, οὔπω δὲ καὶ τῶν φαντασιῶν αὐτῆς ἕξει καὶ ἔρωτι θείῳ καὶ ἀμιγεῖ καθαρθέντες· καὶ μετ' αὐτοὺς οἱ μὴ καθάπαξ ἑνοειδεῖς, καὶ νομικῶς εἰπεῖν, ἄμωμοι καὶ ἀμώμητοι παντελῶς. οἱ δὲ πανίεροι τῶν πανιέρων ἱερουργοὶ καὶ φιλοθεάμονες, τὴν ἁγιωτάτην τελετὴν ἁγιοπρεπῶς ἐποπτεύοντες, ὑμνοῦσιν ὁμολογίᾳ καθολικῇ τὴν ἀγαθουργὸν καὶ ἀγαθοδότιν ἀρχήν, ὑφ' ἧς αἱ σωτηριώδεις ἡμῖν ἀνεδείχθησαν τελεταί, τὴν ἱερὰν τῶν τελουμένων θέωσιν ἱερουργοῦσαι. τὸν ὕμνον δὲ τοῦτον, οἱ μὲν ὑμνολογίαν καλοῦσιν· οἱ δέ, τῆς θρησκείας τὸ σύμβολον· ἄλλοι δὲ ὡς οἶμαι θειότερον, ἱεραρχικὴν εὐχαριστίαν, ὡς περιεκτικὴν τῶν εἰς ἡμᾶς θεόθεν ἀφικομένων ἱερῶν δώρων· δοκεῖ γάρ μοι τῶν ὑμνουμένων ἁπασῶν θεουργιῶν ἡ πραγματεία περὶ ἡμᾶς γεγονέναι, τὴν μὲν οὐσίαν ἡμῶν καὶ ζωὴν ἀγαθοειδῶς ὑποστήσασα, καὶ ἀρχετύποις κάλλεσι τὸ θεοειδὲς ἡμῶν μορφώσασα· καὶ θειοτέρας ἕξεως καὶ ἀναγωγῆς ἐν μετουσίᾳ καταστήσασα, κατιδοῦσα δὲ τὴν ἐξ ἀπροσεξίας ἐγγενομένην ἡμῖν ἐρημίαν τῶν θείων δωρεῶν, ἐπισκευαστοῖς ἡμᾶς ἀγαθοῖς εἰς τὸ ἀρχαῖον ἀνακαλέσασθαι, καὶ τῇ παντελεῖ τῶν ἡμετέρων προσλήψει τὴν τελεωτάτην τῶν οἰκείων μετάδοσιν ἀγαθουργῆσαι, καὶ ταύτῃ κοινωνίαν ἡμῖν θεοῦ καὶ τῶν θείων δωρήσασθαι. οὕτω δὲ τῆς θεαρχικῆς φιλανθρωπίας ἱερῶς ὑμνηθείσης, ἐγκεκαλυμμένος μὲν ὁ θεῖος ἄρτος προτίθεται, καὶ τὸ τῆς εὐλογίας ποτήριον. ὁ δὲ θειότατος ἀσπασμὸς ἱερουργεῖται, καὶ τῶν ἁγιογράφων πτυχῶν ἡ μυστικὴ καὶ ὑπερκόσμιος ἀνάρρησις· οὐ γὰρ ἔνεστι πρὸς τὸ ἓν συνάγεσθαι, καὶ τῆς τοῦ ἑνὸς μετέχειν εἰρηναίας ἑνώ-

σεως

ὄντως τοὺς πρὸς ἑαυτοὺς διῃρημένους. εἰ γὰρ ἀπὸ τῆς τοῦ ἑνὸς θεωρίας καὶ γνώσεως ἐλλαμπόμενοι, πρὸς τὴν ἑνοειδῆ καὶ θείαν συναγωγὴν ἑνοποιηθῶμεν, οὐκ ἂν ἐπὶ τὰς μεριστὰς ἀνασχοίμεθα καταπίπτειν ἐπιθυμίας, ἐξ ὧν αἱ πρόσυλοι δημιουργοῦνται καὶ ἐμπαθεῖς πρὸς τὰς κατὰ φύσιν ὁμοειδεῖς ἀπέχθειαι. ταύτην οὖν ὡς οἶμαι, τὴν ἑνοειδῆ καὶ ἀδιαίρετον ζωὴν, ἡ τῆς εἰρήνης ἱερουργία νομοθετεῖ, τῷ ὁμοίῳ τὸ ὅμοιον ἐνιδρύουσα, καὶ τῶν μεριστῶν ἀποδιαστέλλουσα τὰ θεῖα καὶ ἑνιαῖα θεάματα. τῶν δὲ ἱερῶν πτυχῶν ἡ μετὰ τὴν εἰρήνην ἀνάρρησις, ἀνακηρύττει τοὺς ὁσίως βεβιωκότας, καὶ πρὸς ἐναρέτου ζωῆς τελείωσιν ἀμεταστάτως ἀφικομένους, ἡμᾶς μὲν ἐπὶ τὴν δι' ὁμοιότητος ἐκείνων μακαριστὴν ἕξιν καὶ θεοειδῆ λῆξιν προτρέπουσα καὶ χειραγωγοῦσα· τοὺς δὲ, ὡς ζῶντας ἀνακηρύττουσα, καὶ ὡς ἡ θεολογία φησὶν, οὐ νεκρωθέντας, ἀλλ' εἰς θειοτάτην ζωὴν ἐκ θανάτου μεταφοιτήσαντας. σκόπει δὲ ὅτι καὶ μνημοσύνοις ἱεροῖς ἀνατέθεινται, τῆς θείας μνήμης οὐκ ἀνθρωποπαθῶς ἐν τῇ τοῦ μνημονικοῦ φαντασίᾳ δηλουμένης, ἀλλ' ὡς ἄν τις φαίη, θεοπρεπῶς κατὰ τὴν ἐν θεῷ τῶν τετελεσμένων θεοειδῶν τιμίαν καὶ ἀμετάστατον γνῶσιν· ἔγνω γὰρ, ἔφη τὰ λόγια, τοὺς ὄντας αὐτοῦ, καὶ τίμιος ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ, τοῦ θανάτου τῶν ὁσίων ἀντὶ τῆς ἐν ὁσιότητι τελειώσεως εἰρημένου. καὶ τοῦτο δὲ ἱερῶς ἐννόησον, ὡς ἐπιτεθέντων τῷ θείῳ θυσιαστηρίῳ τῶν σεβασμίων συμβόλων, δι' ὧν ὁ Χριστὸς σημαίνεται καὶ μετέχεται, πάρεστιν ἀδιασπάστως ἡ τῶν ἁγίων ἀπογραφὴ, τὸ συνεζευγμένον αὐτῶν ἀδιαιρέτως ἐμφαίνουσα τῆς πρὸς αὐτὸν ὑπερκοσμίου καὶ ἱερᾶς ἑνώσεως. τούτων δὲ καθ' ὃν εἴρηται θεσμὸν ἱερουργηθέντων, ἑστὼς ἐπίπροσθεν τῶν ἁγιωτάτων συμβόλων, ὕδατι τὰς χεῖρας ὁ ἱεράρχης νίπτεται μετὰ τοῦ σεμνοῦ τῶν ἱερέων τάγματος· ὅτι μὲν οὖν, ὡς τὰ λόγια φησὶν, ὁ λελουμένος οὐ δεῖται τινὸς ἑτέρας, εἰ μὴ τῆς τῶν ἄκρων εἴτ' οὖν ἐσχάτων ἑαυτοῦ νίψεως, δι' ἧς τὸ ἀκροτάτης καθάρσεως ἐν πανάγνῳ τοῦ θεοειδοῦς ἕξει· καὶ πρὸς τὰ δεύτερα προϊὼν ἀγαθοειδῶς, ἄσχετος ἔσται καὶ ἀπόλυτος ὡς καθάπαξ ἑνοειδὴς, καὶ πρὸς τὸ ἓν αὖθις ἑνιαίως ἐπιστρεφόμενος, ἄχραντον ποιήσεται καὶ ἀκηλίδωτον τὴν ἐπιστροφὴν, ὡς τοῦ θεοειδοῦς ἀποσώζων τὸ πλῆρες καὶ ὁλόκληρον· ὁ μὲν ἱερὸς λουτὴρ, ὡς εἰρήκαμεν ἐν τῇ κατὰ νόμον ἱεραρχίᾳ, νῦν δὲ τοῦ ἱεράρχου καὶ τῶν ἱερέων ἡ τῶν χειρῶν ἀποκάθαρσις, ὑπαινίττεται· τοὺς γὰρ ἐπὶ τὴν παναγεστάτην ἰόντας ἱερουργίαν, ἀποκεκαθάρθαι δεῖ καὶ τὰς ἐσχάτας τῆς ψυχῆς φαντασίας, καὶ δι' ὁμοιότητος αὐτῇ κατὰ τὸ δυνατὸν προσιέναι· φανοτέρας γὰρ οὕτω τὰς θεοφανείας περιαυγασθήσονται, τῶν ὑπερκοσμίων μαρμαρυγῶν εἰς τὴν τῆς ὁμοιοειδοῦς ἐσόπτρου ἀγλαΐαν, ὁλικώτερον καὶ διαυγέστερον ἀφιέντων διϊέναι τὴν οἰκείαν αἴγλην. ἡ δὲ τοῦ ἱεράρχου καὶ τῶν ἱερέων ἄχρι τῶν ἄκρων εἴτ' οὖν ἐσχάτων ἀπόνιψις, ἐπίπροσθεν γίνεται τῶν ἁγιωτάτων συμβόλων, ὡς ἐπὶ Χριστοῦ τοῦ πάσας ἐφορῶντος ἡμῶν τὰς κρυ-

φωτιζούσας ἐννοίας, καὶ τῆς ἀκροτάτης καθάρσεως ἐν τοῖς αὐτοῦ πανεπισκόποις ἀκριβασμοῖς, καὶ ταῖς δικαιοτάταις καὶ ἀδεκάστοις κρίσεσιν ἑδραζομένης. οὕτω τοῖς θείοις ὁ ἱεράρχης ἑνοῦται, καὶ τὰς ἱερὰς θεουργίας ὑμνήσας, ἱερουργεῖ τὰ θειότατα, καὶ ὑπ' ὄψιν ἄγει τὰ ὑμνημένα. τίνας μὲν εἶναι τὰς εἰς ἡμᾶς θεουργίας φαμὲν, ἑξῆς ἀφηγητέον ὅση δύναμις· οὐ γὰρ πάσας ὑμνεῖν ἱκανὸς ἐγὼ, μή τί γε σαφῶς εἰδέναι καὶ ἑτέροις μυσταγωγεῖν. ὅσα δὲ πρὸς τῶν ἐνθέων ἱεραρχῶν ἀκολούθως τοῖς λογίοις ὑμνεῖται, καὶ ἱερουργεῖται, ταῦτα ὡς ἡμῖν ἐφικτὸν ἐροῦμεν, τὴν ἱεραρχικὴν ἐπίπνοιαν ἀρωγὸν ἐπικαλεσάμενοι. τὴν ἀνθρωπείαν φύσιν ἀρχῆθεν ἀπὸ τῶν θείων ἀγαθῶν ἀνοήτως ἐξολισθήσασαν, ἡ πολυπαθεστάτη ζωὴ διαδέχεται, καὶ τὸ τοῦ φθοροποιοῦ θανάτου πέρας· ἀκολούθως γὰρ ἡ τῆς ὄντως ἀγαθότητος ὀλέθριος ἀποστασία, καὶ τῆς ἱερᾶς ἐν παραδείσῳ θεσμοθεσίας ὑπερβασία, τὸν ἐξοιστρήσαντα τοῦ ζωοποιοῦ ζυγοῦ ταῖς θελκτικαῖς τοῦ ἐναντίου καὶ δυσμενέσιν ἀπάταις, τοῖς ἐναντίοις τῶν θείων ἀγαθῶν οἰκείαις ῥοπαῖς παραδέδωκεν· ἔνθεν ἐλεεινῶς, ἀντὶ μὲν αἰωνίου τὸ θνητὸν ἀντηλλάξατο· τὴν δὲ οἰκείαν ἀρχὴν ἐν φθαρτικαῖς ἐσχηκὼς γενέσεσιν, ἐπὶ τὸ τῆς ἀρχῆς κατάλληλον εἰκότως ἤγετο πέρας. ἀλλὰ καὶ τῆς θείας καὶ ἀναγώγου ζωῆς ἐθελουσίως ἀποπεσοῦσα, πρὸς τὴν ἐναντίαν ἐσχατιὰν ἠνέχθη, τὴν πολυπαθεστάτην ἀλλοίωσιν· πλανωμένη δὲ, καὶ τῆς εὐθείας ὁδοῦ, τῆς ἐπὶ τὸν ὄντως ὄντα θεὸν, ἐκτετραμμένη, καὶ ταῖς ὀλεθρίαις καὶ κακεργάτισιν ὑποταττομένη πληθύσιν, ἐλάνθανεν, οὐ θεοῖς, οὐδὲ φίλοις, ἀλλὰ δυσμενέσι θεραπεύουσα. τῶν δὲ ἀφειδῶς αὐτῇ κατὰ τὸ οἰκεῖον ἀπηνὲς ἀποκεχρημένων, εἰς ἀνυπαρξίας οἰκτρῶς ἐκπεπτώκει καὶ ἀπωλείας κίνδυνον. ἡ δὲ τῆς θεαρχικῆς ἀγαθότητος ἀπειροτάτη φιλανθρωπία, καὶ τὴν αὐτουργὸν ἡμῶν ἀγαθοπρεπῶς οὐκ ἀπηνήνατο πρόνοιαν· ἀλλ' ἐν ἀληθεῖ μεθέξει τῶν καθ' ἡμᾶς γενομένη πάντων ἀναμαρτήτως, καὶ πρὸς τὸ ταπεινὸν ἡμῶν ἑνοποιηθεῖσα μετὰ τῆς τῶν οἰκείων ἀσυγχύτου καὶ ἀλωβήτου παντελῶς ἕξεως, τὴν πρὸς αὐτὴν ἡμῖν κοινωνίαν ὡς ὁμογενέσι λοιπὸν ἐδωρήσατο, καὶ τῶν οἰκείων ἀνέδειξε μετόχους καλῶν, τῆς μὲν ἀποστατικῆς πληθύος, ὡς ἡ κρυφία παράδοσις ἔχει, τὸ καθ' ἡμῶν καταλύσασα κράτος, οὐ κατὰ δύναμιν ὡς ὑπερισχύσα· κατὰ δὲ τὸ μυστικῶς ἡμῖν παραδοθὲν λόγιον, ἐν κρίσει καὶ δικαιοσύνῃ. τὰ καθ' ἡμᾶς δὲ πρὸς τοὐναντίον ἀγαθουργῶς μετασκευάσασα· τὸ μὲν γὰρ κατὰ νοῦν ἡμῶν ἀλαμπὲς, ἐνέπλησεν ὀλβίου καὶ θειοτάτου φωτὸς, καὶ τοῖς θεοειδέσιν ἐκόσμησε τὸ ἀειδὲς κάλλεσι· τὸ δὲ τῆς ψυχῆς οἰκητήριον, ἐν παντελεῖ σωτηρίᾳ τῆς ὅσον οὔπω καταπεσούσης ἡμῶν οὐσίας, ἐναγεστάτων παθῶν καὶ φθοροποιῶν μολυσμῶν ἠλευθέρωσεν, ἀναγωγὴν ἡμῖν ὑπερκόσμιον ὑποδείξασα, καὶ πολιτείαν ἔνθεον ἐν ταῖς πρὸς αὐτὴν ἡμῶν ἱεραῖς κατὰ τὸ δυνατὸν ἀφομοιώσεσι. τὸ θεομίμητον δὲ πῶς ἂν ἡμῖν ἑτέρως ἐγγένοιτο,

το, μὴ τῆς τῶν ἱερωτάτων θεουργιῶν μνήμης ἀνανεουμένης ἀεὶ ταῖς ἱεραρχικαῖς ἱερολογίαις τε καὶ ἱερουργίαις, τοῦτο ποιοῦμεν ὡς τὰ λόγια φησίν, εἰς τὴν αὐτῆς ἀνάμνησιν. ἔνθεν ὁ θεῖος ἱεράρχης ἐπὶ τοῦ θείου θυσιαστηρίου καταστάς, ὑμνεῖ τὰς ἱερὰς θεουργίας Ἰησοῦ, τῆς θειοτάτης ἡμῶν προνοίας, ἃς ἐπὶ σωτηρίᾳ τοῦ γένους ἡμῶν εὐδοκίᾳ τοῦ παναγεστάτου πατρὸς ἐν πνεύματι ἁγίῳ κατὰ τὸ λόγιον ἐτελείωσεν. ὑμνήσας δέ, καὶ τὴν σεβασμίαν αὐτῶν καὶ νοητὴν θεωρίαν ἐν νοητοῖς ὀφθαλμοῖς ἐποπτεύσας, ἐπὶ τὴν συμβολικὴν αὐτῶν ἱερουργίαν ἔρχεται, καὶ τοῦτο θεοπαραδότως· ὅθεν εὐλαβῶς τε ἅμα καὶ ἱεραρχικῶς μετὰ τοὺς ἱεροὺς τῶν θεουργικῶν ὕμνους, ὑπὲρ τῆς ἑαυτοῦ ἱερουργίας ἀπολογεῖται, πρότερον ἱερῶς πρὸς αὐτὸν ἀναβοῶν, Σὺ εἶπας, τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· εἶτα τῆς θεομιμήτου ταύτης ἱερουργίας ἄξιος αἰτήσας γενέσθαι, καὶ τῇ πρὸς αὐτὸν χριστὸν ἀφομοιώσει τὰ θεῖα τελέσαι, καὶ διαδοῦναι πανάγνως καὶ τοὺς τῶν ἱερῶν μεθέξοντας, ἱεροπρεπῶς μετασχεῖν, ἱερουργεῖ τὰ θειότατα. καὶ ὑπ' ὄψιν ἄγει τὰ ὑμνημένα διὰ τῶν ἱερῶν προκειμένων συμβόλων· τὸν γὰρ ἐγκεκαλυμμένον καὶ ἀδιαίρετον ἄρτον ἀνακαλύψας, καὶ εἰς πολλὰ διελών, καὶ τὸ ἑνιαῖον τοῦ ποτηρίου πᾶσι καταμερίσας, συμβολικῶς τὴν ἑνότητα πληθύνει καὶ διανέμει, παναγεστάτην ἐν τούτοις ἱερουργίαν τελῶν· τὸ γὰρ ἓν καὶ ἁπλοῦν καὶ κρύφιον Ἰησοῦ τοῦ θεαρχικωτάτου λόγου, τῇ καθ' ἡμᾶς ἐνανθρωπήσει πρὸς τὸ σύνθετόν τε καὶ ὁρατὸν ἀναλλοιώτως ἀγαθότητι καὶ φιλανθρωπίᾳ προελήλυθε, καὶ τὴν πρὸς αὐτὸν ἡμῶν ἑνοποιὸν κοινωνίαν, ἀγαθουργῶς διεπραγματεύσατο, τὰ καθ' ἡμᾶς ταπεινά, τοῖς θειοτάτοις αὐτοῦ κατ' ἄκρον ἑνώσας, εἴπερ καὶ ἡμεῖς ὡς μέλη σώματος συναρμολογηθῶμεν αὐτῷ κατὰ τὸ ταὐτὸν τῆς ἀλωβήτου καὶ θείας ζωῆς, καὶ μὴ τοῖς φθοροποιοῖς πάθεσι κατανεκρωθέντες ἀνάρμοστοι καὶ ἀκόλλητοι καὶ ἀσύζωοι γενώμεθα πρὸς τὰ θεῖα μέλη καὶ ὑγιέστατα. χρὴ γὰρ ἡμᾶς εἰ τῆς πρὸς αὐτὸν ἐφιέμεθα κοινωνίας, εἰς τὴν θειοτάτην αὐτοῦ κατὰ σάρκα ζωὴν ἀποσκοπεῦσαι, καὶ τῇ πρὸς αὐτὴν ἀφομοιώσει τῆς ἱερᾶς ἀναμαρτησίας, εἰς τὴν θεοειδῆ καὶ ἀλώβητον ἕξιν ἀναδραμεῖν· οὕτω γὰρ ἐναρμονίως ἡμῖν τὴν πρὸς τὸ ὅμοιον κοινωνίαν δωρήσεται. ταῦτα τοῖς ἱερῶς δρωμένοις ὁ ἱεράρχης ἐμφαίνει, τὰ μὲν ἐγκεκαλυμμένα δῶρα πρὸς τὸ ἐμφανὲς ἄγων, τὸ δὲ ἑνιαῖον αὐτῶν εἰς πολλὰ διαιρῶν· καὶ τῇ τῶν διανεμομένων πρὸς τὰ ἐν οἷς γίγνεται κατ' ἄκρον ἑνώσει, κοινωνοὺς αὐτῶν ἀποτελῶν τοὺς μετέχοντας. διαγράφει γὰρ ἐν τούτοις, αἰσθητῶς ὑπ' ὄψιν ἄγων Ἰησοῦν τὸν χριστόν, τὴν νοητὴν ἡμῶν ὡς ἐν εἰκόσι ζωήν, ἐκ τοῦ κατὰ τὸ θεῖον κρυφίου τῇ παντελεῖ καὶ ἀσυγχύτῳ καθ' ἡμᾶς ἐνανθρωπήσει, φιλανθρώπως ἐξ ἡμῶν εἰδοποιούμενον· καὶ πρὸς τὸ μεριστὸν ἡμῶν ἀναλλοιώτως ἐκ τοῦ κατὰ φύσιν ἑνὸς προϊόντα· καὶ διὰ τῆς ἀγαθουργοῦ ταύτης φιλανθρωπίας, εἰς μετουσίαν ἑαυτοῦ καὶ τῶν οἰκείων

ἀγαθῶν καλοῦντα τὸ ἀνθρώπινον φῦλον, εἴπερ ἑνωθῶμεν αὐτοῦ τῇ θειοτάτῃ ζωῇ τῇ πρὸς αὐτὴν ἡμῶν κατὰ δύναμιν ἀφομοιώσει, καὶ ταύτῃ πρὸς ἀλήθειαν κοινωνοὶ θεοῦ καὶ τῶν θείων ἀποτελεσθησόμεθα. μετασχὼν δὲ καὶ μεταδοὺς τῆς θεαρχικῆς κοινωνίας, εἰς εὐχαριστίαν ἱερὰν καταλήγει μετὰ παντὸς τοῦ τῆς ἐκκλησίας ἱεροῦ πληρώματος. ἡ μετοχὴ τῆς μεταδόσεως ἡγεῖται, καὶ τῆς μυστικῆς διανεμήσεως ἡ τῶν μυστηρίων μετάληψις· αὕτη γὰρ ἡ καθολικὴ τῶν θείων εὐκοσμία καὶ τάξις, πρότερον ἐν μετουσίᾳ γενέσθαι καὶ ἀποπληρώσει τὸν ἱερὸν καθηγεμόνα τῶν δι' αὐτοῦ θεόθεν ἑτέροις δωρηθησομένων· οὕτω καὶ ταῖς ἐνθέοις διδασκαλίαις οἱ τολμηρῶς ἀποκεχρημένοι παρὰ τῆς κατ' αὐτὰς πολιτείας καὶ ἕξεως, ἀνίεροι καὶ ἔκφυλοι πάντη τῆς ἱερᾶς εἰσι θεσμοθεσίας· ὡς γὰρ ἐπὶ τῶν ἡλιακῶν μαρμαρυγῶν αἱ λεπτότεραι καὶ διειδέστεραι τῶν οὐσιῶν, πρῶται τῆς εἰσρεούσης αἴγλης ἀποπληρούμεναι, τὸ κατὰ πᾶν ἑαυτῶν ὑπερχεόμενον φῶς, εἰς τὰς μετ' αὐτὰς ἡλιοειδῶς ἐποχετεύουσιν· οὕτω καὶ θείου παντὸς οὐ τολμητέον ἑτέροις ἡγήσασθαι τὸν μὴ κατὰ πᾶσαν ἕξιν αὐτοῦ γεγονότα θεοειδέστατον, καὶ πρὸς τῆς θείας ἐπιπνοίας καὶ κρίσεως ἁρμοστὴν ἀναδεδειγμένον. ἐν τούτοις ἡ πᾶσα τῶν ἱερέων διακόσμησις ἱεραρχικῶς συναχθεῖσα, καὶ τοῖς θειοτάτοις κοινωνήσασα, μετ' εὐχαριστίας ἱερᾶς καταλήγει, τὰς τῶν θεουργιῶν ἀναλόγως ἐπιγνοῦσα καὶ ὑμνήσασα χάριτας. ὥστε οἱ τῶν θείων ἀμέτοχοι καὶ ἀγνῶτες, οὐκ ἂν εἰς εὐχαριστίαν ἀφίκοιντο, καίτοι κατ' οἰκείαν φύσιν ἀξίων ὄντων εὐχαριστεῖσθαι τῶν θειοτάτων δωρεῶν. ἀλλ' ὅπερ ἔφην, οὐδὲ προσβλέψαι ποτὲ τοῖς θείοις δώροις ἐκ τῆς ἐπὶ τὰ χείρω νεύσεως ἐθελήσαντες, ἀχάριστοι πρὸς τὰς ἀπείρους τῶν θεουργιῶν διαμεμενήκασι χάριτας. γεύσασθε, φησὶ τὰ λόγια, καὶ ἴδετε· τῇ γὰρ ἱερᾷ τῶν θείων μυήσει τὰς μεγαλοδώρους αὐτῶν οἱ μυούμενοι χάριτας ἐπιγνώσονται, καὶ τὸ θειότατον αὐτῶν ὕψος καὶ μέγεθος ἐν τῇ μεθέξει πανιέρως ἐποπτεύοντες, τὰς ὑπερουρανίους εὐχαρίστως ὑμνήσουσι τῆς θεαρχίας ἀγαθουργίας.

ΕΚ

ἘΚ ΤΗ͂Σ ἸΟΥΣΤΙ͂ΝΟΥ ΤΟΥ͂ ΦΙΛΟΣΟΦΟΥ ΚΑΙ ΜΑΡΤΥΡΟΣ,

ἀπολογίας ὑπὲρ χριστιανῶν, περὶ λειτουργίας.

ΗΜΕΙ͂Σ δὲ μετὰ τὸ οὕτως λοῦσαι τὸν πεπεισμένον, καὶ συγκατατεθειμένον, ἐπὶ τοὺς λεγομένους ἀδελφοὺς ἄγομεν, ἔνθα συνηγμένοι εἰσί, κοινὰς εὐχὰς ποιησόμενοι ὑπέρ τε ἑαυτῶν καὶ τοῦ φωτισθέντος, καὶ ἄλλων πανταχοῦ πάντων εὐτόνως, ὅπως καταξιωθῶμεν τὰ ἀληθῆ μαθόντες, καὶ δι' ἔργων ἀγαθοὶ πολιτευταὶ, καὶ φύλακες τῶν ἐντεταλμένων εὑρεθῆναι· ὅπως τὴν αἰώνιον σωτηρίαν σωθῶμεν. ἀλλήλους φιλήματι ἀσπαζόμεθα, παυσάμενοι τῶν εὐχῶν. ἔπειτα προσφέρεται τῷ προεστῶτι τῶν ἀδελφῶν ἄρτος καὶ ποτήριον ὕδατος καὶ κράματος. καὶ οὗτος λαβὼν, αἶνον καὶ δόξαν τῷ πατρὶ τῶν ὅλων διὰ τοῦ ὀνόματος τοῦ υἱοῦ καὶ τοῦ πνεύματος τοῦ ἁγίου ἀναπέμπει· καὶ εὐχαριστίαν ὑπὲρ τοῦ κατηξιῶσθαι τούτων παρ' αὐτοῦ, ἐπὶ πολὺ ποιεῖται· οὗ συντελέσαντος τὰς εὐχὰς καὶ τὴν εὐχαριστίαν, πᾶς ὁ παρὼν λαὸς ἐπευφημεῖ λέγων, ἀμήν. τὸ δὲ ἀμὴν τῇ ἑβραΐδι φωνῇ, τὸ γένοιτο σημαίνει. εὐχαριστήσαντος δὲ τοῦ προεστῶτος, καὶ ἐπευφημήσαντος παντὸς τοῦ λαοῦ, οἱ καλούμενοι παρ' ἡμῖν διάκονοι, διδόασιν ἑκάστῳ τῶν παρόντων μεταλαβεῖν ἀπὸ τοῦ εὐχαριστηθέντος ἄρτου καὶ οἴνου καὶ ὕδατος, καὶ τοῖς οὐ παροῦσιν ἀποφέρουσι· καὶ ἡ τροφὴ αὕτη καλεῖται παρ' ἡμῖν εὐχαριστία, ἧς οὐδενὶ ἄλλῳ μετασχεῖν ἐξόν ἐστιν, ἢ τῷ πιστεύοντι ἀληθῆ εἶναι τὰ δεδιδαγμένα ὑφ' ἡμῶν, καὶ λουσαμένῳ τὸ ὑπὲρ ἀφέσεως ἁμαρτιῶν καὶ εἰς ἀναγέννησιν λουτρὸν, καὶ οὕτως βιοῦντι ὡς ὁ χριστὸς παρέδωκεν· οὐ γὰρ ὡς κοινὸν ἄρτον, οὐδὲ κοινὸν πόμα ταῦτα λαμβάνομεν, ἀλλ' ὃν τρόπον διὰ λόγου θεοῦ σαρκοποιηθεὶς Ἰησοῦς χριστὸς ὁ σωτὴρ ἡμῶν, καὶ σάρκα καὶ αἷμα ὑπὲρ σωτηρίας ἡμῶν ἔσχεν· οὕτω καὶ τὴν δι' εὐχῆς λόγου τοῦ παρ' αὐτοῦ εὐχαριστηθεῖσαν τροφὴν, ἐξ ἧς αἷμα καὶ σάρκες κατὰ μεταβολὴν τρέφονται ἡμῶν, ἐκείνου τοῦ σαρκοποιηθέντος Ἰησοῦ καὶ σάρκα καὶ αἷμα ἐδιδάχθημεν εἶναι· οἱ γὰρ ἀπόστολοι ἐν τοῖς γενομένοις ὑπ' αὐτῶν ἀπομνημονεύμασιν, ἃ καλεῖται εὐαγγέλια, οὕτως παρέδωκαν, ἐντετάλθαι αὐτοῖς τὸν Ἰησοῦν, λαβόντα ἄρτον, εὐχαριστήσαντα εἰπεῖν, Τοῦτο ποιεῖτε εἰς τὴν ἀνάμνησίν μου· τοῦτό ἐστι τὸ σῶμά μου· καὶ τὸ ποτήριον ὁμοίως λαβόντα καὶ εὐχαριστήσαντα εἰπεῖν, Τοῦτό ἐστι τὸ αἷμά μου, καὶ μόνοις αὐτοῖς μεταδοῦναι. ὅπερ καὶ ἐν τοῖς τοῦ μίθρα μυστηρίοις παρέδωκαν γίνεσθαι μιμησάμενοι οἱ πονηροὶ δαίμονες· ὅτι γὰρ ἄρτος καὶ ποτήριον ὕδατος τίθεται ἐν ταῖς τοῦ μυουμένου τελεταῖς μετ' ἐπιλόγων τινῶν, ἢ ἐπίστασθε, ἢ μα-

τοῦ δύνασθαι. ἡμεῖς δὲ μετὰ ταῦτα λοιπὸν ἀεὶ τούτων ἀλλήλους ἀναμιμνήσκομεν· καὶ οἱ ἔχοντες, τοῖς λειπομένοις πᾶσιν ἐπικουροῦμεν, καὶ σύνεσμεν ἀλλήλοις ἀεί. ἐπὶ πᾶσί τε οἷς προσφερόμεθα, εὐλογοῦμεν τὸν ποιητὴν τῶν πάντων διὰ τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ χριστοῦ, καὶ διὰ πνεύματος τοῦ ἁγίου. καὶ τῇ τοῦ ἡλίου λεγομένῃ ἡμέρα, πάντων κατὰ πόλεις ἢ ἀγροὺς μενόντων ἐπὶ τὸ αὐτὸ συνέλευσις γίνεται, καὶ τὰ ἀπομνημονεύματα τῶν ἀποστόλων, ἢ τὰ συγγράμματα τῶν προφητῶν ἀναγινώσκεται μέχρις ἐγχωρεῖ. εἶτα παυσαμένου τοῦ ἀναγινώσκοντος, ὁ προεστὼς διὰ λόγου τὴν νουθεσίαν καὶ πρόκλησιν τῆς τῶν καλῶν τούτων μιμήσεως ποιεῖται· ἔπειτα ἀνιστάμεθα κοινῇ πάντες, καὶ εὐχὰς πέμπομεν· καὶ ὡς προέφημεν, παυσαμένων ἡμῶν τῆς εὐχῆς, ἄρτος προσφέρεται καὶ οἶνος καὶ ὕδωρ· καὶ ὁ προεστὼς εὐχὰς ὁμοίως καὶ εὐχαριστίας ὅση δύναμις αὐτῷ ἀναπέμπει, καὶ ὁ λαὸς ἐπευφημεῖ λέγων τὸ ἀμήν. καὶ ἡ διάδοσις καὶ ἡ μετάληψις ἀπὸ τῶν εὐχαριστηθέντων ἑκάστῳ γίνεται, καὶ τοῖς οὐ παροῦσι διὰ τῶν διακόνων πέμπεται. οἱ εὐποροῦντες δὲ καὶ βουλόμενοι, κατὰ προαίρεσιν ἕκαστος τὴν ἑαυτοῦ, ὃ βούλεται δίδωσι· καὶ τὸ συλλεγόμενον, παρὰ τῷ προεστῶτι ἀποτίθεται, καὶ αὐτὸς ἐπικουρεῖ ὀρφανοῖς τε καὶ χήραις, καὶ τοῖς διὰ νόσον, ἢ δι' ἄλλην αἰτίαν λειπομένοις, καὶ τοῖς ἐν δεσμοῖς οὖσι, καὶ τοῖς παρεπιδήμοις οὖσι ξένοις, καὶ ἁπλῶς πᾶσι τοῖς ἐν χρείᾳ οὖσι κηδεμὼν γίνεται. τὴν δὲ τοῦ ἡλίου ἡμέραν, κοινῇ πάντες τὴν συνέλευσιν ποιούμεθα· ἐπειδὴ πρώτη ἐστὶν ἡμέρα, ἐν ᾗ ὁ θεὸς τὸ σκότος καὶ τὴν ὕλην τρέψας, κόσμον ἐποίησε· καὶ Ἰησοῦς χριστὸς ὁ ἡμέτερος σωτὴρ τῇ αὐτῇ ἡμέρα ἐκ νεκρῶν ἀνέστη. τῇ γὰρ πρὸ τῆς κρονικῆς ἐσταύρωσαν αὐτὸν· καὶ τῇ μετὰ τὴν κρονικήν, ἥτις ἐστὶν ἡλίου ἡμέρα, φανεὶς τοῖς ἀποστόλοις αὐτοῦ καὶ μαθηταῖς, ἐδίδαξε ταῦτα· ἅπερ εἰς ἐπίσκεψιν καὶ ὑμῖν ἀνεδώκαμεν.

ΤΟΥ

ΤΟΥ ἘΝ ἉΓΙΟΙΣ ΠΑΤΡΟΣ ἩΜΩΝ ΓΡΗΓΟΡΙΟΥ ἈΡΧΙΕΠΙΣΚΌΠΟΥ Νύσης, ὅτι ὁ ἁγιαζόμενος ἄρτος, εἰς σῶμα τοῦ θεοῦ λόγου μεταποιεῖται, καὶ ὅτι ἐπάναγκες τῇ ἀνθρωπείᾳ φύσει αὐτοῦ μεταλαμβάνειν.

ὯΣΠΕΡ οἱ δηλητήριον δι' ἐπιβουλῆς λαβόντες, ἄλλῳ φαρμάκῳ τὴν φθοροποιὸν δύναμιν ἔσβεσαν· χρὴ δὲ καθ' ὁμοιότητα τοῦ ὀλεθρίου καὶ τὸ ἀλεξητήριον ἐντὸς τῶν ἀνθρωπίνων γενέσθαι σπλάγχνων, ὡς ἂν δι' ἐκείνων ἐφ' ἅπαν καταμερισθείη τὸ σῶμα ἡ τοῦ βοηθοῦντος δύναμις· οὕτω τοῦ διαλύοντος τὴν φύσιν ἡμῶν ἀπογευσάμενοι, πάλιν ἀναγκαίως καὶ τοῦ συνάγοντος τὸ διαλελυμένον ἐπεδεήθημεν· ὡς ἂν ἐν ἡμῖν γενόμενον τὸ τοιοῦτον ἀλεξητήριον, τὴν προεντεθεῖσαν τῷ σώματι τοῦ δηλητηρίου βλάβην, διὰ τῆς οἰκείας ἀντιπαθείας ἀπώσοιτο. τί οὖν ἐστι τοῦτο. οὐδὲν ἕτερον, ἢ ἐκεῖνο τὸ σῶμα, ὃ τοῦ τε θανάτου κρεῖττον ἐδείχθη, καὶ τῆς ζωῆς ἡμῖν κατήρξατο· καθάπερ γὰρ μικρὰ ζύμη, καθώς φησιν ὁ ἀπόστολος, ὅλον τὸ φύραμα πρὸς ἑαυτὴν ἐξομοιοῖ· οὕτω τὸ ἀθανατισθὲν ὑπὸ τοῦ θεοῦ σῶμα, ἐν τῷ ἡμετέρῳ γενόμενον, ὅλον πρὸς ἑαυτὸ μεταποιεῖ τε καὶ μετατίθησιν· ὡς γὰρ τῷ φθοροποιῷ πρὸς τὸ ὑγιαῖνον ἀναμιχθέντι ἅπαν τὸ ἀνακραθὲν συνηχρείωται· οὕτω καὶ τὸ ἀθάνατον σῶμα ἐν τῷ ἀναλαβόντι αὐτὸ γενόμενον, πρὸς τὴν ἑαυτοῦ φύσιν τὸ πᾶν μετεποίησεν. ἀλλὰ μὴν οὐκ ἔστιν ἄλλως ἐντός τι γενέσθαι τοῦ σώματος, εἰ μὴ διὰ βρώσεως ἢ πόσεως τοῖς σπλάγχνοις καταμιγνύμενον. οὐκοῦν ἐπάναγκες κατὰ τὸν δυνατὸν τῇ φύσει τρόπον, τὴν ζωοποιὸν δύναμιν τῷ σώματι δέξασθαι· μόνου δὲ τοῦ θεοδόχου σώματος ἐκείνου, ταύτην δεξαμένου τὴν χάριν· ἄλλως δὲ δειχθέντος μὴ εἶναι δυνατὸν ἐν ἀθανασίᾳ γενέσθαι τὸ ἡμέτερον σῶμα, εἰ μὴ διὰ τῆς πρὸς τὸ ἀθάνατον κοινωνίας, ἐν μετουσίᾳ τῆς ἀφθαρσίας γενόμενον, σκέψασθαι προσήκει, πῶς ἐγένετο δυνατὸν τὸ ἓν ἐκεῖνο σῶμα, ταῖς τοσαύταις τῶν πιστῶν μυριάσι κατὰ πᾶσαν τὴν οἰκουμένην εἰσαεὶ καταμεριζόμενον, ὅλον ἑκάστου διὰ τοῦ μέρους γίνεσθαι, καὶ αὐτὸ μένειν ἐφ' ἑαυτοῦ ὅλον. οὐκοῦν ὡς ἂν πρὸς τὸ ἀκόλουθον ἡμῖν ἡ πίστις βλέπουσα μηδεμίαν ἀμφιβολίαν περὶ τοῦ προκειμένου νοήματος ἔχοι, μικρόν τι προσήκει παρασχολῆσαι τὸν λόγον εἰς τὴν φυσιολογίαν τοῦ σώματος· τίς γὰρ οὐκ οἶδεν, ὅτι ἡ τοῦ σώματος ἡμῶν φύσις αὐτὴ καθ' ἑαυτὴν ἐν ἰδίᾳ τινὶ ὑποστάσει, ζωὴν οὐκ ἔχει, ἀλλὰ διὰ τῆς ἐπιρρεούσης αὐτῇ δυνάμεως συνέχει τε ἑαυτὴν, καὶ ἐν τῷ εἶναι μένει, ἀπαύστῳ κινήσει τό, τε λεῖπον πρὸς ἑαυτὴν ἐφελκομένη, καὶ τὸ περιττεῦον ἀπωθουμένη· ἡ δὲ δύναμις αὕτη, τροφὴ καὶ ἔστι καὶ λέγεται. ἔστι δὲ, οὐχ ἡ αὐτὴ πᾶσι τοῖς τρεφομένοις σώμασιν, ἀλλά τις κατάλληλος πα-

ἐφ' οὗ τὴν φύσιν οἰκονομοῦντος ἀποκεκλήρωται. τὰ μὲν γὰρ τῶν ζώων ῥιζορυχοῦντα τρέφεται· ἑτέροις δὲ ἐστὶν ἡ πόα τρόφιμος. ἐνίων δὲ τροφὴ, σάρκες εἰσίν· ἀνθρώπῳ δὲ κατὰ τὸ προηγούμενον, ἄρτος. εἰς δὲ τὴν τοῦ ὑγροῦ διαμονὴν καὶ συντήρησιν ποτὸν γίνεται, οὐχ αὐτὸ μόνον τὸ ὕδωρ, ἀλλ' οἴνῳ πολλάκις ἐφηδυνόμενον, πρὸς τὴν τοῦ ἐν ἡμῖν θερμοῦ συμμαχίαν. οὐκοῦν ὁ πρὸς ταῦτα βλέπων, δυνάμει πρὸς τὸν ὄγκον τοῦ ἡμετέρου σώματος βλέπει· ἐν ἐμοὶ γὰρ ἐκεῖνα γινόμενα, αἷμα καὶ σῶμα γίνεται, καταλλήλως διὰ τῆς ἀλλοιωτικῆς δυνάμεως πρὸς τὸ τοῦ σώματος εἶδος τῆς τροφῆς μεθισταμένης. τούτων ἡμῖν τοῦτον διευκρινηθέντων τὸν τρόπον, ἐπανακλέον πάλιν πρὸς τὰ προκείμενα τὴν διάνοιαν. ἐζητεῖτο γὰρ, πῶς τὸ ἓν ἐκεῖνο σῶμα τοῦ χριστοῦ, πᾶσαν ζωοποιεῖ τὴν τῶν ἀνθρώπων φύσιν, ἐν ὅσοις ἡ πίστις ἐστὶ, πρὸς πάντας μεριζόμενον, καὶ αὐτὸ οὐ μειούμενον. τάχα τοίνυν ἐγγὺς τοῦ εἰκότος λόγου γινόμεθα. εἰ γὰρ παντὸς σώματος ἡ ὑπόστασις ἐκ τῆς τροφῆς γίνεται, αὕτη δὲ βρῶσις καὶ πόσις ἐστίν· ἔστι δὲ ἐν μὲν τῇ βρώσει ἄρτος, ἐν δὲ τῇ πόσει ὕδωρ ἐφηδυσμένον τῷ οἴνῳ· ὁ δὲ τοῦ θεοῦ λόγος, τῇ ἀνθρωπίνῃ συνανεκράθη φύσει· καὶ ἐν τῷ σώματι τῷ ἡμετέρῳ γενόμενος, οὐκ ἄλλην τινὰ παρεκαινοτόμησε τῇ φύσει τὴν σύστασιν, ἀλλὰ διὰ τῶν συνήθων τε καὶ καταλλήλων ἔδωκε τῷ καθ' ἑαυτὸν σώματι τὴν διαμονὴν, βρώσει καὶ πόσει περικρατῶν τὴν ὑπόστασιν· ἡ δὲ βρῶσις, ἄρτος ἦν. ὥσπερ οὖν ἐφ' ἡμῶν, καθὼς ἤδη εἴρηται, ὁ τὸν ἄρτον ἰδὼν, τρόπον τινὰ, τὸ σῶμα τὸ ἀνθρώπινον βλέπει· ὅτι ἐν τούτῳ ἐκεῖνος γινόμενος, τοῦτο γίνεται· οὕτω κἀκεῖνο τὸ θεοδόχον σῶμα τὴν τροφὴν τοῦ ἄρτου παραδεξάμενον, λόγῳ τινὶ ταὐτὸν ἦν ἐκείνῳ, τῆς τροφῆς, καθὼς εἴρηται, πρὸς τὴν τοῦ σώματος φύσιν μεθισταμένης· τὸ γὰρ πάντων ἴδιον, καὶ ἐπ' ἐκείνης τῆς σαρκὸς ὡμολογήθη, ὅτι ἄρτῳ τὸ σῶμα κἀκεῖνο διεκρατεῖτο· τὸ δὲ σῶμα τῇ ἐνοικήσει τοῦ θεοῦ λόγου πρὸς τὴν θεϊκὴν ἀξίαν μετεποιήθη· καλῶς οὖν καὶ νῦν τὸν τῷ λόγῳ τοῦ θεοῦ ἁγιαζόμενον ἄρτον, εἰς σῶμα τοῦ θεοῦ λόγου μεταποιεῖσθαι πιστεύομεν· καὶ γὰρ ἐκεῖνο τὸ σῶμα, ἄρτος τῇ δυνάμει ἦν· ἡγιάσθη δὲ τῇ ἐπισκηνώσει τοῦ λόγου τοῦ σκηνώσαντος ἐν τῇ σαρκί. οὐκοῦν ὅθεν ὁ ἐν ἐκείνῳ τῷ σώματι μεταποιηθεὶς ἄρτος, εἰς θείαν μετέστη δύναμιν, διὰ τοῦ αὐτοῦ καὶ νῦν τὸ ἴσον γίνεται· ἐκεῖ τε γὰρ ἡ τοῦ λόγου χάρις ἅγιον ἐποίει τὸ σῶμα, ᾧ ἐκ τοῦ ἄρτου ἡ σύστασις ἦν, καὶ τρόπον τινὰ καὶ αὐτὸ ἄρτος ἦν. ἐνταῦθά τε ὡσαύτως ὁ ἄρτος, καθώς φησιν ὁ ἀπόστολος, ἁγιάζεται διὰ λόγου θεοῦ καὶ ἐντεύξεως· οὐ διὰ βρώσεως προϊὼν εἰς τὸ σῶμα γενέσθαι τοῦ λόγου, ἀλλ' εὐθὺς πρὸς τὸ σῶμα διὰ τοῦ λόγου ποιούμενος, καθὼς εἴρηται ὑπὸ τοῦ λόγου, ὅτι τοῦτό ἐστι τὸ σῶμά μου. πάσης δὲ σαρκὸς καὶ διὰ τοῦ ὑγροῦ τρεφομένης· οὐ γὰρ ἂν δίχα τῆς πρὸς τοῦτο συζυγίας τὸ ἐν ἡμῖν γεῶδες πρὸς τὸ ζῆν δυναμοῖτο· ὥσπερ γὰρ διὰ τῆς στερρᾶς τε καὶ ἀντιτύπου τροφῆς τὸ στερρὸν τοῦ σώματος ὑποστηρίζομεν τῷ αὐτῷ τρόπῳ καὶ τῷ

ὑγρῷ

ὑγρῷ τὴν προσθήκην ἐκ τῆς ὁμογενοῦς ποιούμενα φύσεως. ὅπερ δὴ ἡμῖν γενόμενον, διὰ τῆς ἀλλοιωτικῆς δυνάμεως ἐξαιματοῦται· καὶ μάλιστά γε εἰ διὰ τοῦ οἴνου λάβοι τὴν δύναμιν πρὸς τὴν εἰς τὸ θερμὸν μεταποίησιν. ἐπεὶ οὖν καὶ τοῦτο τὸ μέρος ἡ θεοδόχος ἐκείνη σὰρξ πρὸς τὴν σύστασιν ἑαυτῆς προσεδέξατο· ὁ δὲ φανερωθεὶς θεὸς διὰ τοῦτο κατέμιξεν ἑαυτὸν τῇ ἐπικήρῳ φύσει, ἵνα τῇ τῆς θεότητος κοινωνίᾳ συναποθεωθῇ τὸ ἀνθρώπινον· τούτου χάριν πᾶσι τοῖς πεπιστευκόσι τῇ οἰκονομίᾳ τῆς χάριτος, ἑαυτὸν ἐνσπείρει διὰ τῆς σαρκός, ἧς ἡ σύστασις ἐξ οἴνου τε καὶ ἄρτου ἐστί, τοῖς σώμασι τῶν πεπιστευκότων κατακιρνάμενος, ὡς ἂν τῇ πρὸς τὸ ἀθάνατον ἑνώσει, καὶ ὁ ἄνθρωπος τῆς ἀφθαρσίας μέτοχος γένοιτο. ταῦτα δὲ δίδωσι τῇ τῆς εὐλογίας δυνάμει πρὸς ἐκεῖνο μεταστοιχειώσας τῶν φαινομένων τὴν φύσιν.

ΤΟΥ͂ ἘΝ ἉΓΊΟΙΣ ΠΑΤΡΌΣ ΗΜΩΝ ΙΩΑΝΝΟΥ ΤΟΥ ΔΑΜΑ-σκηνοῦ, ὅτι ὁ ἱερουργούμενος ἄρτος καὶ οἶνος, οὐκ ἔστι τύπος τοῦ κυριακοῦ σώματος, ἀλλ' αὐτὸ ἐκεῖνο ἀληθῶς τὸ ἴδιον σῶμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ.

Ο ΑΓΑΘΟΣ καὶ πανάγαθος θεός, ὁ ὑπεράγαθος, ὁ ὅλος ὢν ἀγαθότης, διὰ τὸν ὑπερβάλλοντα πλοῦτον τῆς αὐτοῦ ἀγαθότητος, οὐκ ἠνέσχετο μόνον εἶναι τὸ ἀγαθόν, ἤτοι τὴν ἑαυτοῦ φύσιν, ὑπὸ μηδενὸς μετεχόμενον, ἀλλὰ καὶ τούτου χάριν ἐποίησε, πρῶτον μέν, τὰς νοερὰς καὶ οὐρανίους δυνάμεις· εἶτα, τὸν ὁρατὸν καὶ αἰσθητὸν κόσμον· εἶτα, ἐκ νοεροῦ καὶ αἰσθητοῦ, τὸν ἄνθρωπον. πάντα μὲν οὖν τὰ ὑπ' αὐτοῦ γενόμενα, κοινωνοῦσι τῆς αὐτοῦ ἀγαθότητος κατὰ τὸ εἶναι· αὐτὸς γάρ ἐστι τοῖς πᾶσι τὸ εἶναι, ἐπειδὴ ἐν αὐτῷ εἰσι τὰ ὄντα, οὐ μόνον ὅτι αὐτὸς ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι αὐτὰ παρήγαγεν, ἀλλ' ὅτι ἡ αὐτοῦ ἐνέργεια τὰ ὑπ' αὐτοῦ γενόμενα συντηρεῖ καὶ συνέχει· ἐκ περισσοῦ δὲ τὰ ζῷα· κατά τε γὰρ τὸ εἶναι, καὶ κατὰ τὸ ζωῆς μετέχειν, κοινωνοῦσι τοῦ ἀγαθοῦ· τὰ δὲ λογικά, καὶ κατὰ τὰ προειρημένα μέν, οὐ μὴν ἀλλὰ καὶ κατὰ τὸ λογικόν, καὶ ταῦτα μᾶλλον· οἰκειότερα γάρ πως εἰσὶ πρὸς αὐτόν, εἰ καὶ πάντων ἐστὶν ὑπέρκειται ἀσυγκρίτως. ὁ μέντοι ἄνθρωπος, λογικὸς καὶ αὐτεξούσιος γενόμενος, ἐξουσίαν εἴληφεν ἀδιαλείπτως διὰ τῆς οἰκείας προαιρέσεως ἑνοῦσθαι τῷ θεῷ, εἴγε διαμένοι ἐν τῷ ἀγαθῷ, τουτέστι τῇ τοῦ κτίσαντος ὑπακοῇ. ἐπεὶ τοίνυν ἐν παραβάσει τῆς τοῦ πεποιηκότος αὐτὸν ἐντολῆς γέγονε, καὶ θανάτῳ καὶ φθορᾷ ὑποπέπτωκεν, ὁ ποιητὴς

καὶ δημιουργὸς τῆς φύσεως ἡμῶν διὰ σπλάγχνα ἐλέους αὐτοῦ, ὡμοιώθη ἡμῖν, κατὰ πάντα γενόμενος ἄνθρωπος χωρὶς ἁμαρτίας, καὶ ἡνώθη τῇ ἡμετέρᾳ φύσει. ἐπειδὴ γὰρ μετέδωκεν ἡμῖν τῆς ἰδίας εἰκόνος καὶ τοῦ ἰδίου πνεύματος, καὶ οὐκ ἐφυλάξαμεν, μεταλαμβάνει αὐτὸς τῆς πτωχῆς καὶ ἀσθενοῦς ἡμῶν φύσεως, ἵνα ἡμᾶς καθάρῃ καὶ ἀφθαρτίσῃ, καὶ μετόχους πάλιν τῆς αὐτοῦ καταστήσῃ θεότητος. ἔδει δὲ μὴ μόνον τὴν ἀπαρχὴν τῆς ἡμετέρας φύσεως ἐν μετοχῇ γενέσθαι τοῦ κρείττονος, ἀλλὰ καὶ πάντα τὸν βουλόμενον ἄνθρωπον, καὶ δευτέραν γέννησιν γεννηθῆναι, καὶ τραφῆναι τροφῇ ξένῃ, καὶ τῇ γεννήσει προσφόρῳ, καὶ οὕτω φθάσαι τὸ μέτρον τῆς τελειότητος. διὰ μὲν οὖν τῆς αὐτοῦ γεννήσεως, ἤτοι σαρκώσεως, καὶ τοῦ βαπτίσματος, καὶ τοῦ πάθους, καὶ τῆς ἀναστάσεως, ἠλευθέρωσε τὴν φύσιν τῆς ἁμαρτίας τῆς προπατορικῆς, καὶ τοῦ θανάτου καὶ τῆς φθορᾶς· καὶ τῆς ἀναστάσεως ἀπαρχὴ γέγονε, καὶ ὁδὸν καὶ τύπον ἑαυτὸν καὶ ὑπογραμμὸν τέθεικεν, ἵνα καὶ ἡμεῖς τοῖς αὐτοῦ ἀκολουθήσαντες ἴχνεσι, γενώμεθα θέσει, ὅπερ αὐτός ἐστι φύσει, υἱοὶ καὶ κληρονόμοι θεοῦ, καὶ αὐτοῦ συγκληρονόμοι. ἔδωκεν οὖν ἡμῖν, ὡς ἔφην, γέννησιν δευτέραν, ἵν' ὥσπερ γεννηθέντες ἐκ τοῦ Ἀδάμ, ὁμοιώθημεν μὲν αὐτῷ, κληρονομήσαντες τὴν κατάραν καὶ τὴν φθοράν, οὕτω καὶ ἐξ αὐτοῦ γεννηθέντες ὁμοιωθῶμεν μὲν αὐτῷ, καὶ κληρονομήσωμεν τήν τε ἀφθαρσίαν καὶ τὴν εὐλογίαν καὶ τὴν δόξαν αὐτοῦ. ἐπεὶ δὲ πνευματικός ἐστιν οὗτος ὁ Ἀδάμ, ἔδει καὶ τὴν γέννησιν πνευματικὴν εἶναι, ὁμοίως καὶ τὴν βρῶσιν. ἀλλ' ἐπεὶ διπλοῖ τινές ἐσμεν καὶ (σύνθετοι, δεῖ καὶ τὴν γέννησιν διπλῆν εἶναι), ὁμοίως καὶ τὴν βρῶσιν σύνθετον. ἡ μὲν οὖν γέννησις ἡμῖν δι' ὕδατος καὶ πνεύματος δέδοται, φημὶ δὴ τοῦ ἁγίου βαπτίσματος· ἡ δὲ βρῶσις, αὐτὸς ὁ ἄρτος τῆς ζωῆς, ὁ κύριος ἡμῶν Ἰησοῦς χριστός, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς. μέλλων γὰρ τὸν ἑκούσιον ὑπὲρ ἡμῶν καταδέχεσθαι θάνατον, ἐν τῇ νυκτί, ἐν ᾗ παρεδίδου ἑαυτόν, διαθήκην καινὴν διέθετο τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, καὶ δι' αὐτῶν πᾶσι τοῖς εἰς αὐτὸν πιστεύουσιν. ἐν τῷ ὑπερῴῳ τοίνυν τῆς ἁγίας καὶ ἐνδόξου Σιών, τὸ παλαιὸν πάσχα μετὰ τῶν μαθητῶν αὐτοῦ φαγών, καὶ πληρώσας τὴν παλαιὰν διαθήκην, νίπτει τῶν μαθητῶν τοὺς πόδας, σύμβολον τοῦ ἁγίου βαπτίσματος παρεχόμενος· εἶτα κλάσας ἄρτον, ἐπεδίδου αὐτοῖς λέγων, λάβετε, φάγετε, τοῦτό μου ἐστὶ τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν. ὁμοίως δὲ λαβὼν καὶ τὸ ποτήριον ἐξ οἴνου καὶ ὕδατος, μετέδωκεν αὐτοῖς λέγων, πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό μου ἐστὶ τὸ αἷμα τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ υἱοῦ τοῦ ἀνθρώπου καταγγέλλετε, καὶ τὴν ἀνάστασιν αὐτοῦ ὁμολογεῖτε, ἕως ἂν ἔλθῃ. εἰ τοίνυν ὁ λόγος τοῦ θεοῦ, ζῶν ἐστι καὶ ἐνεργής, καὶ πάντα ὅσα ἠθέλησεν ὁ κύριος ἐποίησεν· εἰ εἶπε γε-

νηθήτω φῶς καὶ ἐγένετο, γενηθήτω στερέωμα καὶ ἐγένετο· εἰ τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν· εἰ ὁ οὐρανὸς καὶ ἡ γῆ, ὕδωρ τε καὶ πῦρ, καὶ ἀὴρ καὶ πᾶς ὁ κόσμος αὐτῶν τῷ λόγῳ κυρίου συνετελέσθησαν· καὶ τοῦτο δὴ τὸ πολυθρύλλητον ζῶον ὁ ἄνθρωπος· εἰ θελήσας αὐτὸς ὁ θεὸς λόγος ἐγένετο ἄνθρωπος, καὶ τὰ τῆς ἁγίας ἀειπαρθένου καθαρὰ καὶ ἀμώμητα αἵματα ἑαυτῷ ἀσπόρως σάρκα ὑπεστήσατο, οὐ δύναται τὸν ἄρτον ἑαυτοῦ σῶμα ποιῆσαι; καὶ τὸν οἶνον καὶ τὸ ὕδωρ αἷμα; εἶπεν ἐν ἀρχῇ, ἐξαγαγέτω ἡ γῆ βοτάνην χόρτου, καὶ μέχρι τοῦ νῦν τοῦ ὑετοῦ γινομένου ἐξάγει τὰ ἴδια βλαστήματα τῷ θείῳ συνελαυνομένη καὶ δυναμουμένη προστάγματι. εἶπεν ὁ θεός, τοῦτό μου ἐστὶ τὸ σῶμα, καὶ τοῦτό μου τὸ αἷμα, καὶ τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν, καὶ τῷ παντοδυνάμῳ αὐτοῦ προστάγματι, ἕως ἂν ἔλθῃ γίνεται· οὕτω γὰρ εἶπεν, ἕως ἂν ἔλθῃ· καὶ γίνεται ὑετὸς τῇ καινῇ ταύτῃ γεωργίᾳ διὰ τῆς ἐπικλήσεως, ἡ τοῦ ἁγίου πνεύματος ἐπισκιάζουσα δύναμις· ὥσπερ γὰρ πάντα ὅσα ἐποίησεν ὁ θεός, τῇ τοῦ ἁγίου πνεύματος ἐνεργείᾳ ἐποίησεν, οὕτω καὶ νῦν ἡ τοῦ πνεύματος ἐνέργεια, τὰ ὑπὲρ φύσιν ἐργάζεται, ἃ οὐ δύναται χωρῆσαι εἰ μὴ μόνη ἡ πίστις. πῶς ἔσται μοι τοῦτο, φησὶν ἡ ἁγία παρθένος, ἐπεὶ ἄνδρα οὐ γινώσκω· ἀποκρίνεται Γαβριὴλ ὁ ἀρχάγγελος, πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι. καὶ νῦν ἐρωτᾷς, πῶς ὁ ἄρτος γίνεται σῶμα χριστοῦ· καὶ ὁ οἶνος καὶ τὸ ὕδωρ, αἷμα χριστοῦ· λέγω σοι κἀγώ. πνεῦμα ἅγιον ἐπιφοιτᾷ, καὶ ταῦτα ποιεῖ τὰ ὑπὲρ λόγον καὶ ἔννοιαν θεῖα μυστήρια, σῶμα χριστοῦ. ἄρτος δὲ καὶ οἶνος παραλαμβάνεται· οἶδε γὰρ ὁ θεὸς τὴν ἀνθρωπίνην ἀσθένειαν· ὡς τὰ πολλὰ γὰρ τὰ μὴ κατὰ τὴν συνήθειαν τετριμμένα ἀποστρέφεται δυσχεραίνουσα. τῇ οὖν συνήθει συγκαταβάσει κεχρημένος, διὰ τῶν συνήθων τῆς φύσεως ποιεῖ τὰ ὑπὲρ φύσιν· καὶ ὥσπερ ἐπὶ τοῦ βαπτίσματος, ἐπειδὴ ἔθος τοῖς ἀνθρώποις ὕδατι λούεσθαι, καὶ ἐλαίῳ χρίεσθαι, συνέζευξε τῷ ἐλαίῳ καὶ ὕδατι τὴν χάριν τοῦ πνεύματος, καὶ ἐποίησεν αὐτὸ λουτρὸν ἀναγεννήσεως· οὕτως ἐπειδὴ ἔθος τοῖς ἀνθρώποις ἄρτον ἐσθίειν, ὕδωρ τε καὶ οἶνον πίνειν, συνέζευξεν αὐτοῖς τὴν αὐτοῦ θεότητα, καὶ πεποίηκεν αὐτὰ σῶμα καὶ αἷμα αὐτοῦ, ἵνα διὰ τῶν συνήθων καὶ κατὰ φύσιν, ἐν τοῖς ὑπὲρ φύσιν γενώμεθα. σῶμά ἐστιν ἀληθῶς ἡνωμένον θεότητι, τὸ ἐκ τῆς ἁγίας παρθένου σῶμα· οὐχ ὅτι αὐτὸ τὸ ἀναληφθὲν σῶμα ἐξ οὐρανοῦ κατέρχεται, ἀλλ' ὅτι αὐτὸς ὁ ἄρτος καὶ ὁ οἶνος, μεταποιοῦνται εἰς σῶμα καὶ αἷμα θεοῦ. εἰ δὲ τὸν τρόπον ἐπιζητεῖς, πῶς γίνεται, ἀρκεῖ σοι ἀκοῦσαι, ὅτι διὰ πνεύματος ἁγίου, ὥσπερ καὶ ἐκ τῆς ἁγίας θεοτόκου διὰ πνεύματος ἁγίου ἑαυτῷ καὶ ἐν ἑαυτῷ ὁ κύριος σάρκα ὑπεστήσατο, καὶ πλέον οὐδὲν γινώσκομεν, ἀλλ' ὅτι ὁ λόγος τοῦ θεοῦ, ἀληθής ἐστι καὶ ἐνεργὴς καὶ παντοδύναμος, ὁ δὲ τρόπος ἀνεξερεύνητος. οὐ χεῖρον δὲ καὶ τοῦτο εἰπεῖν, ὅτι ὥσπερ φυσικῶς διὰ τῆς βρώσεως ὁ ἄρτος, καὶ ὁ οἶνος καὶ τὸ ὕδωρ

διὰ τῆς πόσεως, εἰς σῶμα τοῦ ἐσθίοντος καὶ πίνοντος μεταβάλλονται, καὶ οὐ
γίνονται ἕτερον σῶμα παρὰ τὸ πρότερον αὐτοῦ σῶμα. οὕτως ὁ τῆς προ-
θέσεως ἄρτος, οἶνός τε καὶ ὕδωρ διὰ τῆς ἐπικλήσεως καὶ ἐπιφοιτήσεως τοῦ
ἁγίου πνεύματος ὑπερφυῶς μεταποιοῦνται εἰς τὸ σῶμα τοῦ Χριστοῦ καὶ τὸ
αἷμα· καὶ οὐκ εἰσὶ δύο, ἀλλ' ἓν καὶ τὸ αὐτό. γίνεται τοίνυν τοῖς πίστει ἀξίως με-
ταλαμβάνουσιν, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον, καὶ εἰς φυλακτή-
ριον ψυχῆς τε καὶ σώματος· τοῖς δὲ ἐν ἀπιστίᾳ ἀναξίως μετέχουσιν, εἰς κό-
λασιν καὶ τιμωρίαν· καθάπερ καὶ ὁ τοῦ κυρίου θάνατος, τοῖς μὲν πιστεύουσι
γέγονε ζωὴ καὶ ἀφθαρσία εἰς ἀπόλαυσιν τῆς αἰωνίου μακαριότητος· τοῖς δὲ
ἀπειθοῦσι καὶ τοῖς κυριοκτόνοις, εἰς κόλασιν καὶ τιμωρίαν αἰώνιον. οὐκ ἔστι τύπος
ὁ ἄρτος καὶ ὁ οἶνος τοῦ σώματος καὶ αἵματος τοῦ Χριστοῦ· μὴ γένοιτο· ἀλλ' αὐτὸ τὸ
σῶμα τοῦ κυρίου τεθεωμένον, αὐτοῦ τοῦ κυρίου εἰπόντος, τοῦτό μου ἐστί, οὐ τύπος τοῦ
σώματος, ἀλλὰ τὸ σῶμα· καὶ οὐ τύπος τοῦ αἵματος, ἀλλὰ τὸ αἷμα. καὶ πρὸ τούτου
τοῖς Ἰουδαίοις, ὅτι ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίνητε αὐτοῦ
τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς· ἡ γὰρ σάρξ μου ἀληθής ἐστι βρῶσις, καὶ τὸ
αἷμά μου ἀληθής ἐστι πόσις· καὶ πάλιν, ὁ τρώγων με ζήσεται. διὸ μετὰ παν-
τὸς φόβου καὶ συνειδήσεως καθαρᾶς καὶ ἀδιστάκτου πίστεως προσέλθωμεν.
καὶ πάντως ἔσται ἡμῖν, καθὼς πιστεύομεν μὴ διστάζοντες. τιμήσωμεν δὲ αὐ-
τὸ πάσῃ καθαρότητι ψυχικῇ τε καὶ σωματικῇ· διπλοῦν γάρ ἐστι. προσ-
έλθωμεν αὐτῷ, πόθῳ διακαεῖ, καὶ σταυροειδῶς τὰς παλάμας τυπώσαν-
τες, τοῦ ἐσταυρωμένου τὸ σῶμα ὑποδεξώμεθα· καὶ ἐπιθέντες ὀφθαλμοὺς
καὶ χείλη καὶ μέτωπα, τοῦ θείου ἄνθρακος μεταλάβωμεν, ἵνα τὸ πῦρ τοῦ
ἐν ἡμῖν πόθου προσλαβὸν τὴν ἐκ τοῦ ἄνθρακος πύρωσιν, καταφλέξῃ ἡμῶν
τὰς ἁμαρτίας, καὶ φωτίσῃ ἡμῶν τὰς καρδίας, καὶ τῇ μετουσίᾳ τοῦ θείου πυ-
ρὸς πυρωθῶμεν καὶ θεωθῶμεν. ἄνθρακα εἶδεν Ἡσαΐας· ἄνθραξ δὲ ξύλον
λιτὸν οὐκ ἔστιν, ἀλλ' ἡνωμένον πυρί· οὕτω καὶ ὁ ἄρτος τῆς κοινωνίας, οὐκ
ἄρτος λιτός ἐστιν, ἀλλ' ἡνωμένος θεότητι. σῶμα δὲ ἡνωμένον θεότητι, οὐ
μία φύσις ἐστίν, ἀλλὰ μία μὲν τοῦ σώματος, τῆς δὲ ἡνωμένης αὐτῷ θεότη-
τος ἑτέρα· ὥστε τὸ συναμφότερον, οὐ μία φύσις, ἀλλὰ δύο. ἄρτῳ καὶ οἴ-
νῳ ἐδεξιοῦτο Μελχισεδὲκ τὸν Ἀβραάμ, ἐκ τῆς τῶν ἀλλοφύλων κοπῆς ὑ-
ποστρέφοντα, ὁ ἱερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου. ἐκείνη ἡ τράπεζα ταύτην τὴν μυ-
στικὴν προεικόνιζε τράπεζαν, ὃν τρόπον ἐκεῖνος ὁ ἱερεὺς, τοῦ ἀληθινοῦ ἀρχιε-
ρέως Χριστοῦ τύπος ἦν καὶ εἰκόνισμα· σὺ γάρ φησιν, εἶ ἱερεὺς εἰς τὸν αἰῶνα
κατὰ τὴν τάξιν Μελχισεδέκ. τοῦτον τὸν ἄρτον,, οἱ ἄρτοι εἰκονίζουσι τῆς προ-
θέσεως. αὕτη ἐστὶν ἡ καθαρὰ θυσία δηλαδὴ καὶ ἀναίμακτος, ἣν ἀπὸ ἀνα-
τολῶν ἡλίου μέχρι δυσμῶν, αὐτῷ προσφέρεσθαι διὰ τοῦ προφήτου ὁ
κύριος ἔφησε. σῶμά ἐστι καὶ αἷμα Χριστοῦ, εἰς σύστασιν τῆς ἡμετέρας ψυ-
χῆς τε καὶ σώματος χωροῦν· οὐ δαπανώμενον, οὐ φθειρόμενον, οὐκ εἰς ἀφε-

δρῶνα

δράσαντα χωρισμοῦ· μὴ γένοιτο· ἀλλ' εἰς τὴν ἡμῶν οὐσίαν καὶ συντήρησιν, βλάβης παντοδαπῆς ἀμυντήριον, ῥύπου παντὸς καθαρτήριον· ἂν μὲν χρυσὸν λάβῃ κίβδηλον, διὰ τῆς κριτικῆς πυρώσεως καθαίρει· ἵνα μὴ ἐν τῷ μέλλοντι σὺν τῷ κόσμῳ κατακριθῶμεν· καθαίρει γὰρ νόσους καὶ παντοίας ἐπιφοράς, καθώς φησιν ὁ θεῖος ἀπόστολος· εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ ὑπὸ κυρίου, παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. καὶ τοῦτό ἐστιν ὃ λέγει, ὥστε ὁ μετέχων τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ κυρίου ἀναξίως, κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει. δι' αὐτοῦ καθαιρόμενοι ἑνούμεθα τῷ σώματι τοῦ κυρίου καὶ τῷ πνεύματι αὐτοῦ, καὶ γινόμεθα σῶμα χριστοῦ. οὗτος ὁ ἄρτος ἐστὶν ἡ ἀπαρχὴ τοῦ μέλλοντος ἄρτου, ὅς ἐστιν ὁ ἐπιούσιος· τὸ γὰρ ἐπιούσιον δηλοῖ, ἢ τὸν μέλλοντα, τουτέστι, τοῦ μέλλοντος αἰῶνος· ἢ τὸν πρὸς συντήρησιν τῆς οὐσίας ἡμῶν λαμβανόμενον. εἴτε οὖν οὕτως, εἴτε οὕτως, τὸ τοῦ κυρίου σῶμα προσφυῶς λεχθήσεται· πνεῦμα γὰρ ζωοποιοῦν ἐστὶν ἡ σὰρξ τοῦ κυρίου· διότι ἐκ τοῦ ζωοποιοῦ πνεύματος συνελήφθη· τὸ γὰρ γεγεννημένον ἐκ τοῦ πνεύματος, πνεῦμά ἐστι. τοῦτο δὲ λέγω οὐκ ἀναιρῶν τὴν τοῦ σώματος φύσιν, ἀλλὰ τὸ ζωοποιὸν καὶ θεῖον τούτου δηλῶσαι βουλόμενος.

ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΜΕΘΩΝΗΣ, πρὸς τοὺς διστάζοντας καὶ λέγοντας ὅτι ὁ ἱερουργούμενος ἄρτος καὶ οἶνος, οὐκ ἔστι σῶμα καὶ αἷμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ.

ΤΗΝ μυστικὴν ταύτην καὶ ἀναίμακτον ἱερουργίαν, καθ' ἣν τὸν ἄρτον καὶ τὸ ποτήριον καθαγιαζόμενα, εἰς τὸ σῶμα καὶ αἷμα τοῦ κυρίου μεταποιεῖσθαι πιστεύομεν, παρὰ τίνος ἂν τὴν ἀρχὴν φαίης δοῦναι. ἆρ' οὐχὶ παρ' αὐτοῦ τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ, καθὼς ἡμᾶς τὰ ἱερὰ διδάσκουσιν εὐαγγέλια; παρ' αὐτοῦ πάντως. οἷος δὲ καὶ ὁ λόγος τῆς παραδόσεως; τοῦτο ποιεῖτε, φησίν, εἰς τὴν ἐμὴν ἀνάμνησιν· καὶ ὁ θεῖος παῦλος· ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ κυρίου καταγγέλλετε. πῶς καὶ τίνα τρόπον, παρ' αὐτοῦ τοῦ σωτῆρος ἐμάθομεν· λαβὼν γάρ φησι, τὸν ἄρτον, καὶ εὐχαριστήσας, ἔκλασε καὶ ἔδωκε τοῖς μαθηταῖς καὶ εἶπε· λάβετε, φάγετε, τοῦτό ἐστι τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν κλώμενον καὶ διδόμενον· ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων, τοῦτο τὸ ποτήριον, ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ αἵματί μου.

τοῦτον δὲ εἰπεῖν κατὰ τὸν θεῖον Ματθαῖον, τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον. ὁ δὲ σκοπὸς τίς, καὶ τὸ τέλος τῆς παραδόσεως τί δηλονότι; ἡ μετουσία χριστοῦ, καὶ ζωὴ ἐν χριστῷ τῶν μετεχόντων αἰώνιος. ἐάν τις γάρ φησι, φάγῃ ἐκ τούτου τοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα· καί, ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστίν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς· καί, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίνητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς· ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον· καὶ πάλιν, ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ· καθὼς ἀπέστειλέ με ὁ ζῶν πατήρ, κἀγὼ ζῶ διὰ τὸν πατέρα· καί, ὁ τρώγων με, κἀκεῖνος ζήσεται δι' ἐμέ· τὴν γὰρ αὐτοῦ σάρκα ὡς δέλεαρ ἐν ἀγκίστρῳ περιτιθέμενος, τῇ θείᾳ αὐτοῦ δυνάμει, τὸν μὲν ὄφιν καθέλκει, ἡμᾶς δὲ ἀνάγει. βαβαὶ ὡς φρικτὸν καὶ φοβερὸν τὸ μυστήριον. ὁ παραδεδωκὼς τοῦτο, τίς ἐστι, διὰ φιλανθρωπίαν καὶ ἄνθρωπος γενόμενος, καὶ ὡς πρόβατον ἐπὶ σφαγὴν καὶ θάνατον προερχόμενος, ἵνα τὸν ὑπόδικον τῷ θανάτῳ διὰ τὴν ἁμαρτίαν ἄνθρωπον τοῦ θανάτου ἐξέληται. αἰτία δὲ τῆς παραδόσεως, ἡ τῆς μεγάλης ταύτης εὐεργεσίας ἀνάμνησις· σῶμα καὶ αἷμα χριστοῦ, τὰ τελούμενα· τῆς τελετῆς τέλος, μετουσία χριστοῦ, καὶ ζωὴ αἰώνιος· ταὐτὸν δὲ εἰπεῖν, τῶν μετεχόντων ἐκθέωσις, ὡς καὶ ὁ θεσπέσιος Παῦλος μεγαλοφώνως βοᾷ, τὸ ποτήριον τῆς εὐλογίας ὃ εὐλογοῦμεν, οὐχὶ κοινωνία τοῦ αἵματος τοῦ χριστοῦ ἐστίν; εἶτα ἐπάγει καὶ λογισμόν, πῶς γινόμεθα σῶμα χριστοῦ, καὶ φησί· τὸν ἄρτον ὃν κλῶμεν, οὐχὶ κοινωνία τοῦ σώματος τοῦ χριστοῦ ἐστίν; ὅτι εἷς ἄρτος, ἓν σῶμα οἱ πολλοί ἐσμεν· οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν. τί γάρ ἐστι, φησίν, ὁ ἄρτος· δηλονότι σῶμα χριστοῦ. τί δὲ γίνονται οἱ μεταλαμβάνοντες· δηλονότι σῶμα χριστοῦ· μετέχοντες γὰρ τοῦ σώματος τοῦ χριστοῦ καὶ ἡμεῖς, ἐκεῖνο γινόμεθα· ἐπειδὴ γὰρ ἡ πᾶσα ἡμῶν σὰρξ ἐφθάρη ὑπὸ τῆς ἁμαρτίας, ἐδέησεν ἡμῖν σαρκὸς νέας. τίς οὖν οὕτω θρασὺς καὶ πολύτολμος, ὡς καινοτομεῖν τὴν παράδοσιν, καὶ παραχαράττειν τὸ μυστήριον, καὶ ἀθετεῖν οὕτω τὸν παραδόντα τε καὶ μυήσαντα; ἀθετήσας τις νόμον Μωϋσέως, φησὶν ὁ ἀπόστολος, χωρὶς οἰκτιρμῶν, ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν, ἀποθνήσκει· πόσῳ δοκεῖ χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν υἱὸν τοῦ θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, καὶ τὸ πνεῦμα τῆς χάριτος καθυβρίσας. ἀλλὰ τίς ὁ καταπατῶν τὸν υἱὸν τοῦ θεοῦ, καὶ τἄλλα τὰ εἰρημένα κατηγορούμενος· ἢ δῆλον, ὡς ὁ τὸ σῶμα αὐτοῦ διὰ τῆς ἀχαριστίας ἀθετῶν, καὶ μὴ ἀποδεχόμενος, καὶ τὴν τοῦ ἀψευδοῦς στόματος παράδοσίν τε καὶ ἔνταλμα ἐξουθενίζων; τοῦτό ἐστι τὸ σῶμά μου εἰπόντος, καὶ τοῦτό ἐστι τὸ αἷμά μου· καί, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίνητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. τί διστάζεις· τί τῷ παντοδυνάμῳ ἀδυνατεῖν προσάπτεις. οὐκ αὐ-

τός

τὸς ἐστιν ὁ ἐκ μὴ ὄντος εἰς τὸ εἶναι τὰ πάντα παραγαγών, ὁ εἷς τῆς τρισυποστάτου θεότητος, ἐπ' ἐσχάτων τῶν χρόνων σαρκωθείς, καὶ ὁ τὸν ἄρτον εἰς τὸ αὐτοῦ σῶμα μεταβάλλεσθαι προστεταχώς; ἢ πάλιν ζητεῖς αἰτίαν καὶ τάξιν φύσεως τῆς τοῦ ἄρτου μεταβολῆς εἰς τὸ τοῦ χριστοῦ σῶμα, καὶ τοῦ ὕδατος καὶ οἴνου εἰς αἷμα· ἐπεὶ ὑπὲρ φύσιν καὶ λόγον καὶ νοῦν καὶ ἔννοιαν ἐκ παρθένου ἐτέχθη; ἀπιστήσεις ἄρα καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν, καὶ τὴν εἰς οὐρανοὺς αὐτοῦ ἀνάληψιν, καὶ τἄλλα τοῦ χριστοῦ θαύματα ὑπὲρ φύσιν καὶ νοῦν καὶ ἔννοιαν ὄντα. τοῦτό σοι γοῦν, ὅτι τὸν χριστόν, οὐ θεὸν ἀληθινὸν καὶ υἱὸν τοῦ θεοῦ ὁμολογεῖς, ἀλλ' ἀφανίζεις, μᾶλλον δὲ ἰουδαΐζεις. ἀλλ' ἴσως πάλιν ἀμφιβάλλεις καὶ ἀπιστεῖς, ὅτι οὐχ ὁρᾷς σάρκα καὶ αἷμα, ἀλλ' ἄρτον καὶ οἶνον· περὶ οὗ εἰδέναι σε χρὴ ἀχάριστε καὶ ἀγνώμον περὶ τὸν εὐεργέτην, ὅτι ὁ τὰ πάντα εἰδὼς θεός, φιλανθρωπότατος ὤν, οἰκονομικῶς τοῦτο ἐποίησε, τῇ ἀνθρωπίνῃ ἀσθενείᾳ συγκαταβαίνων, ἵνα μὴ ἀποστρέφωνται οἱ πολλοὶ τὸν ἀρραβῶνα τῆς αἰωνίου ζωῆς, καὶ δυσχεραίνωσι, σάρκα καὶ αἷμα βλέποντες. διὸ διὰ τῶν συνηθεστέρων τῆς φύσεως τοῦτο γίνεσθαι ἠβουλήθη, συζεύξας αὐτοῖς τὴν αὐτοῦ θεότητα, τοῦτό ἐστι τὸ σῶμά μου, καὶ τοῦτό ἐστι τὸ αἷμά μου εἰπών· καί, λάβετε, φάγετε, καὶ πίετε ἐξ αὐτοῦ πάντες εἰς ἄφεσιν ἁμαρτιῶν· καὶ πάλιν, ὁ ἄρτος ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστίν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς· καί, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίνητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. διὰ τοῦτο αὐτῷ πιστεύοντες, οὕτω προσφέρομεν ἄρτον τέλειον, ζῶντα, εἴτουν σῶμα χριστοῦ τέλειον, καὶ μετὰ τὸ πάθος διαμεμενηκὸς καὶ ὁλόκληρον· οὐδὲ γὰρ ὀστοῦν αὐτοῦ συνετρίβη· καὶ τῆς θείας ζωῆς ἀχώριστον, τοῦτον οὖν αὐτὸς ὁ πρῶτος ἡμῶν καὶ μέγας ἀρχιερεὺς καὶ θύτης καὶ θῦμα τοῖς οἰκείοις μύσταις παρέδωκεν· αὐτοί τε πάλιν οἱ ἀπ' ἀρχῆς αὐτόπται τοῦ λόγου καὶ ὑπηρέται, τῇ καθολικῇ ἐκκλησίᾳ τῇ ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης, παρέδωσαν· πάντες μὲν τῇ ἐν Ἱεροσολύμοις, ὅπου καὶ ὁ θεῖος Ἰάκωβος ὁ τοῦ πρώτου καὶ μεγάλου ἀρχιερέως ἀδελφὸς καὶ διάδοχος τὴν μυστικὴν καὶ ἀναίμακτον λειτουργίαν ἐξέθετο· Πέτρος δὲ καὶ Παῦλος, τῇ ἐν Ἀντιοχείᾳ· Παῦλος δὲ ἰδίως, καὶ πάσῃ τῇ οἰκουμένῃ· Μάρκος δέ, τῇ ἐν Ἀλεξανδρείᾳ· Ἰωάννης καὶ Ἀνδρέας, τῇ ἐν Ἀσίᾳ τε καὶ Εὐρώπῃ· καὶ πάντες τῇ πανταχοῦ ἐκκλησίᾳ διὰ τῆς συγγραφείσης τῷ ἱερῷ Κλήμεντι λειτουργίας παραδεδώκασιν· ἐν ᾗ ταῦτα οὕτω ῥητῶς κεῖται· Μεμνημένοι οὖν ὧν δι' ἡμᾶς ὑπέμεινεν, εὐχαριστοῦμέν σοι θεὲ παντοκράτορ, οὐχ ὅσον ὀφείλομεν, ἀλλ' ὅσον δυνάμεθα, καὶ τὴν διάταξιν αὐτοῦ πληροῦμεν· ἐν ᾗ γὰρ νυκτὶ παρεδίδοτο, λαβὼν ἄρτον ταῖς ἁγίαις καὶ ἀμώμοις αὐτοῦ χερσί, καὶ ἀναβλέψας πρὸς σε τὸν θεὸν αὐτοῦ καὶ πατέρα, καὶ κλάσας, ἔδωκεν ὑμῖν, εἰπών· λάβετε ἐξ αὐτοῦ, φάγετε, τοῦτό ἐστι τὸ σῶμά μου τὸ περὶ πολλῶν

διαθρυπτόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. ὡσαύτως καὶ τὸ ποτήριον κεράσας ἐξ
οἴνου καὶ ὕδατος, καὶ ἁγιάσας, ἔδωκεν ἡμῖν λέγων, πίετε ἐξ αὐτοῦ πάντες,
τοῦτό ἐστι τὸ αἷμά μου τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.
τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. μεμνημένοι τοίνυν τοῦ πάθους αὐτοῦ
καὶ τοῦ θανάτου, καὶ τῆς ἀναστάσεως, καὶ τῆς εἰς οὐρανοὺς ἐπανόδου, καὶ τῆς
μελλούσης αὐτοῦ δευτέρας παρουσίας, ἐν ᾗ ἔρχεται κρῖναι ζῶντας καὶ νεκρούς,
καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, προσφέρομέν σοι τῷ βασιλεῖ καὶ
θεῷ, κατὰ τὴν αὐτοῦ διάταξιν, τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο, εὐχαρι-
στοῦντές σοι δι᾽ αὐτοῦ, ἐφ᾽ οἷς κατηξίωσας ἡμᾶς ἑστάναι ἐνώπιόν σου καὶ ἱερα-
τεύειν σοι· καὶ ἀξιοῦμέν σε, ὅπως εὐμενῶς ἐπιβλέψῃς ἐπὶ τὰ προκείμενα
δῶρα ταῦτα ἐνώπιόν σου, σὺ ὁ ἀνενδεὴς θεός, καὶ εὐδοκήσῃς ἐπ᾽ αὐτοῖς εἰς
τιμὴν τοῦ χριστοῦ σου καὶ καταπέμψῃς τὸ ἅγιόν σου πνεῦμα ἐπὶ τὴν θυσίαν
ταύτην, τὸν μάρτυρα τῶν παθημάτων τοῦ κυρίου Ἰησοῦ, ὅπως ἀποφήνῃ τὸν
ἄρτον τοῦτον, σῶμα τοῦ χριστοῦ σου καὶ τὸ ποτήριον τοῦτο, αἷμα τοῦ χριστοῦ σου.
καὶ πάλιν ὁ μέγας Παῦλος, ἐγὼ παρέλαβον ἀπὸ τοῦ κυρίου, ὃ καὶ παρέ-
δωκα ὑμῖν, ὅτι ὁ κύριος Ἰησοῦς ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο, ἔλαβεν ἄρτον, καὶ
εὐχαριστήσας, ἔκλασε καὶ εἶπε· λάβετε, φάγετε, τοῦτό μού ἐστι τὸ σῶμα τὸ
ὑπὲρ ὑμῶν κλώμενον. τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· ὁσάκις γὰρ ἂν
ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ κυρίου
καταγγέλλετε, ἄχρις οὗ ἂν ἔλθῃ. εἰ δὲ ὑπονοεῖς τοῦτο τὸ παρ᾽ ἡμῶν ἐπιτελού-
μενον ἔλαττον εἶναι ἐκείνου, οὐκ οἶδας ὅτι ὁ χριστὸς καὶ νῦν ἐνεργεῖ, καὶ νῦν
πάρεστιν· ἔσομαι γὰρ μεθ᾽ ὑμῶν τὰς ἡμέρας ἁπάσας ἄχρι τῆς συντελείας
τοῦ αἰῶνος, ἐπηγγείλατο. τούτων τῶν μυστηρίων πάλιν ὑπερεκπληττόμενος ὁ
θεῖος ἀπόστολος, μετὰ φόβου θεοῦ καὶ πίστεως ἀξίως ἡμᾶς αὐτῶν μετέχειν πα-
ρακελεύεται, τὴν τιμωρίαν τοῦ παραβαίνοντος ἀφορίζων, ὃς ἂν ἐσθίῃ, λέγων,
τὸν ἄρτον τοῦτον, ἢ πίνῃ τὸ ποτήριον τοῦ κυρίου ἀναξίως, ἔνοχος ἔσται τοῦ σώματος
καὶ τοῦ αἵματος τοῦ κυρίου. ταὐτὸν δὲ εἰπεῖν κατὰ τὸν θεῖον Χρυσόστομον, καθάπερ
παρέδωκε μὲν αὐτὸν Ἰούδας, ἐπαρῴνησαν δὲ εἰς αὐτὸν Ἰουδαῖοι, οὕτως ἀτιμάζου-
σιν αὐτὸν οἱ τὸ πανάγιον αὐτοῦ σῶμα ἀναξίως τῷ στόματι δεχόμενοι, καὶ ἐνα-
γεῖ προσφέροντες σώματι. διὸ φησί, δοκιμαζέτω ἄνθρωπος ἑαυτόν, οὐχ
ἕτερος τὸν ἕτερον· τοῦτο γὰρ κρῖναί ἐστιν· ἀλλὰ πρότερον ἕκαστος ἑαυτόν, καὶ οὕ-
τως ἐκ τοῦ ἄρτου ἐσθιέτω, καὶ ἐκ τοῦ ποτηρίου πινέτω· ὁ γὰρ ἐσθίων καὶ πί-
νων ἀναξίως, κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων, τουτέστιν ἐξετά-
ζων καὶ ἐννοῶν τὸ σῶμα τοῦ κυρίου προκείμενον. εἰ δὲ ὁ καθ᾽ ἑαυτὸν ἐν ἑνὶ
τῶν ἀνθρωπίνων παθῶν ὀλισθαίνων, καὶ προσιὼν ἀδιακρίτως, ὡς ἀναξίως
μετέχων, τοσαύτης ἀξιοῦται τῆς κατακρίσεως, ὁ περὶ αὐτὴν τὴν ἱερουρ-
γίαν ἐξαμαρτάνων καὶ ἀμέσως αὐτὸ τὸ κυριακὸν καθυβρίζων σῶμα καὶ
ἀπαρνούμενος, τήν τε παράδοσιν ἀθετῶν, καὶ τὸν παραδεδωκότα κατα-

πατῶν,

πατῶν, τίνος ἂν εἴη καὶ πόσου μᾶλλον χλευασμός τε καὶ μείζονος ἄξιος καὶ κατηγορίας καὶ τιμωρίας· ἆρ᾽ οὐ φρίκης γέμει τὰ εἰρημένα; ἆρ᾽ ὑπολέλειπται τις ὑπερβολὴ τῷ τῆς καινοτομίας καὶ παραβάσεως καὶ ἀθεΐας τολμήματι; ἀλλὰ ῥῦσαι κύριε διὰ τοῦ ἐλέους σου τοιαύτης ἀπάτης τε καὶ παραφροσύνης πάντας τοὺς μὴ ὀρθῶς ὁμολογοῦντας τὸν ὑφ᾽ ἡμῶν ἱερουργούμενον ἄρτον καὶ οἶνον, σῶμα τέλειον καὶ αἷμα τίμιον εἶναι τοῦ χριστοῦ σου.

ΤΟΥ͂ ΜΑΚΑΡΊΟΥ ΣΑΜΩΝΑ͂ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΓΑΖΗΣ ΔΙΑλεξις πρὸς Αχμεδ τὸν Σαρακηνόν, ἀποδεικνύουσα τὸν ὑπὸ τοῦ ἱερέως ἱερουργημένον ἄρτον καὶ οἶνον, σῶμα καὶ αἷμα ἀληθινὸν καὶ ὁλόκληρον εἶναι τοῦ κυρίου ἡμῶν Ιησοῦ χριστοῦ.

ΕΤΥΓΧΑΝΟΜΕΝ ποτὲ πορευόμενοι τῆς εἰς Εμεσαν μετὰ πολλῶν ἄλλων, ἐν τῇ συνήθει διαλέξει τὴν καθ᾽ ὁδὸν παραμύθιον οὖσαν χρώμενοι, περὶ διαφόρων ὑποθέσεων, πέρας δὲ δόντες ἐν συνουσίᾳ διελθοῦμεν· ἐξ ὧν καί τις σοφὸς ἀνὴρ καὶ λόγιος Σαρακηνὸς τὸ γένος εἰς τὴν τῶν μυστηρίων διήγησιν τραπείς, ἠρώτησεν ἐμέ, οὕτω σοὶ φάσκων· διά τι ὦ ἐπίσκοπε, ὑμεῖς οἱ ἱερεῖς ἐμπαίζετε τοὺς χριστιανοὺς τὸν ἐξ ἀλεύρου ὀπτώμενον ἄρτον αὐτοῖς κατὰ βραχὺ μερίζοντες, καὶ σῶμα χριστοῦ ὀνομάζοντες, ἄφεσιν ἁμαρτιῶν παρέχειν αὐτὸν τοῖς μεταλαμβάνουσι δυνάμενον διαβεβαιοῦντες· ἆρα ἢ ἡμᾶς αὐτοὺς ἐμπαίζετε, ἢ τοὺς ὧν ἄρχετε; Σα. καὶ τί λέγεις, ἄρτος οὐ γίνεται θεοῦ σῶμα; Αχ. ἐκεῖ περ ἀπορῶ μέρος ἀποκρίνασθαι τῆς ἀντιφάσεως. Σα. τοσοῦτόν σε ἡ μήτηρ σου γεγέννηκεν; Αχ. οὐχί. Σα. ἀλλὰ πόσον. Αχ. σμικρόν. Σα. καὶ τίς σε ἐμεγέθυνε. Αχ. θεοῦ θέλοντος ἡ τροφή. Σα. οὐκοῦν ἄρτος σοι γέγονε σῶμα; Αχ. σύμφημι. Σα. καὶ πῶς σοι ἄρτος γέγονε σῶμα; Αχ. τὸν τρόπον ἀγνοῶ. Σα. διὰ τοῦ λαιμοῦ ἡ βρῶσις καὶ ἡ πόσις εἰς τὸν στόμαχον κατέρχεται ὡς εἰς χύτραν· παρακειμένου δὲ τοῦ στομάχου θερμαίνοντος τοῦ ἥπατος, ἕψεται ἡ τροφὴ καὶ χυλοῦται· καὶ τὸ μὲν παχυμερές, κάτω χωρεῖ· τὸ δὲ λεπτομερές, κεχυλωμένον ἐπιπολάζει· ὡς θερμὸν δὲ ὑπάρχον τὸ ἧπαρ καὶ σομφῶδες, ἀναστᾷ καὶ αἱματοῖ· καὶ ὡς δι᾽ ὀχετῶν ἅπαν τὸ σῶμα διὰ τῶν φλεβῶν καταρδεύει, μείζον τὴν χυλωθεῖσαν ἐν τῷ στομάχῳ τροφήν, καὶ ἐν αὐτῷ αἱματωθεῖσαν, ἑκάστῳ τῶν μελῶν συμμεταβαλλομένην, ὅπερ ἐστὶν ἐκεῖνο, ὀστέοις ὀστοῦν, μυελῷ μυελόν, νεύροις

νεῦρα, ὀφθαλμοῖς ὀφθαλμούς, θριξὶ τρίχα, δέρματι δέρμα, ὄνυξιν ὄνυχα· καὶ οὕτω γὰρ ἡ τοῦ βρέφους εἰς ἄνδρα αὔξησις, τοῦ ἄρτου αὐτῷ γεγονότος σῶμα, καὶ τῆς πόσεως αἷμα. Αχ. ἔοικε. Σα. τὸν τρόπον τὸν αὐτὸν καὶ τὸ ἡμέτερον νῦν μοι γίνεσθαι μυστήριον. τίθησι γὰρ ἐπὶ τὴν ἁγίαν τράπεζαν ὁ ἱερεὺς τὸν ἄρτον, ὁμοίως καὶ τὸν οἶνον κεκραμένον, ἐπικλήσει ἁγίᾳ τὸ πνεῦμα τὸ ἅγιον κάτεισι, καὶ ἐπιφοιτᾷ τοῖς προκειμένοις· καὶ τῷ πυρὶ τῆς αὐτοῦ θεότητος, εἰς σῶμα καὶ αἷμα χριστοῦ, τὸν ἄρτον καὶ τὸν οἶνον μεταβάλλει, οὐχ ἧττον ἢ τὸ ἧπαρ τὴν τροφήν, εἰς τὸ τοῦ τινὸς ἀνθρώπου. ἢ οὐ δίδως τοῦτο δύνασθαι τὸ πανάγιον τοῦ θεοῦ πνεῦμα ὅπερ τὸ σὸν δύναται ἧπαρ ἐκτελεῖν; Αχ. δίδωμι. Σα. τούτου τοίνυν τοῦ σώματος καὶ αἵματος μεταλαμβανόμεν εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον, τοῦ δεσπότου ἡμῶν εἰρηκότος, ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα ἔχει ζωὴν αἰώνιον· τοῖς δὲ δυσπειθῶς ἔχουσι πρὸς τὸ φαινόμενον, ὡς μὴ βλέπουσι τὸ συμβαῖνον τῇ ἐπαλληλίᾳ τῶν σωματικῶς ἐνεργουμένων· ἄρτος γὰρ καὶ οἶνος φαίνεται· πρὸς οὕς τι δὲ καὶ τοῖς λέγουσι, πῶς ἐστὶ δυνατὸν εὐχὴν καὶ δυνάμεως θείας ἐπίκλησιν ἐπὶ τοῦ ἄρτου γινομένην μεταβάλλειν αὐτὸν εἰς σάρκα ζῶσαν, ἁπλοῦς ἐξαρκεῖ λόγος· ἀντερωτήσομεν γάρ, τοῦ τρόπου τῆς κατὰ σάρκα γεννήσεως, πᾶσιν ὄντος προδήλου, πῶς ἄνθρωπος ἐκεῖνο τὸ ὑγρὸν γίνεται, τὸ εἰς ἀφορμὴν τῆς συστάσεως τοῦ ζώου καταβαλλόμενον· ἀλλὰ μήν, οὐδεὶς ἐπ᾽ ἐκείνου λόγος ἐστὶν ὁ λογισμῷ τινὶ τὸ πιθανὸν ἐξευρίσκων· τί γὰρ κοινὸν ἔχει ὁ ὅρος ἀνθρώπου πρὸς τὴν ἐκείνην θεωρουμένην ποιότητα συγκρινόμενος· ἄνθρωπος μὲν γάρ, λογικόν τι χρῆμα καὶ διανοητικόν ἐστιν· ἐκεῖνο δὲ ἐν ὑγρᾷ τινὶ θεωρεῖται ποιότητι· καὶ πλέον οὐδὲν τοῦ κατ᾽ αἴσθησιν ὁρωμένου, καταλαμβάνει ἡ ἔννοια· ἀλλὰ θείᾳ δυνάμει ἐκεῖνο ἄνθρωπος γίνεται· ἧς μὴ συμπαρούσης, ἀκίνητόν ἐστι καὶ ἀνενέργητον. εἰ οὖν ἐκεῖ οὐ τὸ ὑποκείμενον ποιεῖ τὸν ἄνθρωπον, ἀλλ᾽ ἡ θεία δύναμις πρὸς ἀνθρώπου φύσιν μεταποιεῖ τὸ φαινόμενον, τῆς ἐσχάτης ἂν εἴη ἀγνωμοσύνης, ἐκεῖ τοσαύτην θεοῦ προσμαρτυροῦντας δύναμιν, ἀτονεῖν ἐν τῷ μέρει τούτῳ τὸ θεῖον οἴεσθαι πρὸς τὴν ἐκπλήρωσιν τοῦ θελήματος. Αχ. ἀλλά τι κοινὸν ἄρτῳ καὶ σαρκί. Σα. καὶ τί κοινὸν λέξον μοι ὑγρότητι καὶ εἰκόνι θεοῦ· ἀλλ᾽ ὥσπερ οὐδὲν ἐκεῖ τὸ παράδοξον, εἰ θεοῦ βουλομένου, πρὸς τὸ τιμιώτατον ζῶον τὸ ὑγρὸν μεταβαίνει, οὕτω καὶ ἐπὶ τούτου τὸ ἴσον πιστευτέον, μηδὲν εἶναι θαυμαστόν, εἰ θείας δυνάμεως παρουσίᾳ πρὸς ἀφθαρσίαν μετασκευάζεται ὁ ἄρτος, καὶ εἰς σῶμα χριστοῦ μεταβάλλεται. Αχ. ἀλλ᾽ ὁ χριστὸς ὅτε τοῦτο τοῖς μαθηταῖς αὐτοῦ παρέδωκε, οὔτ᾽ αὐτὸς πολλὰς εὐχὰς εἶπε, οὔτε ἡμῖν οὕτω προσεπέτρεψε λέγειν. πῶς τοίνυν ὑμεῖς οὐχ οὕτω ποιεῖτε, ἀλλ᾽ εὐχῶν πολλῶν δεῖσθε. Σα. ὁ χριστὸς καθὸ θεός, κύριος ἦν καὶ τοῦ ἑαυτοῦ σώματος καὶ τῆς ψυχῆς, ἦ φησὶν αὐτός, ὅτι ἐξουσίαν ἔχω τὴν ψυχήν μου δοῦναι, καὶ πάλιν λαβεῖν αὐτήν·

καὶ

καὶ αὐτὸς φύσει θεὸς ὤν, ἡγίασεν εὐθὺς τῇ αὐτοῦ θείᾳ δυνάμει καὶ χάριτι τότε τὸν ἄρτον, τοῦτό ἐστι τὸ σῶμά μου εἰπών, ἔχων καὶ τὸν πατέρα καὶ τὸ πνεῦμα ἐν ἑαυτῷ· καὶ οὕτως τὸν ἄρτον οἰκεῖον σῶμα ἐποίησε· καὶ οὐκ ἐδεῖτο ἑτέρου τινὸς παρέχοντος, καὶ τὸν ἄρτον ἁγιάσοντος· τὸ γὰρ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται· αὐτὸς δὲ ὁ χριστὸς οὐκ ἐλάττων ὢν τοῦ πατρὸς καὶ τοῦ πνεύματος, αὐτεξουσίως ἐποίει ὅσα ἐβούλετο. ὁ δέ γε παρ' ἡμῖν ἱερεὺς, εἰ καὶ τύπον φέρει χριστοῦ, ἀλλ' ἄνθρωπός ἐστι πάντη ἔτι ὑποκείμενος ἁμαρτίαις καὶ κατεχόμενος· οὐδεὶς γὰρ ἀναμάρτητος, ὡς τὰ θεῖα λόγια, κἂν μία ὥρα ἐστὶν ἡ ζωὴ αὐτοῦ, εἰ μὴ μόνος ὁ θεός· διὰ τοῦτο δεῖται πολλῶν εὐχῶν, καὶ πρότερον μὲν ὑπὲρ τῶν οἰκείων ἀγνοημάτων, ἔπειτα τῶν τοῦ λαοῦ, ὥς φησιν ὁ ἀπόστολος Παῦλος· διὸ καὶ πᾶς ὁ λαὸς παριστάμενος ἔξω τοῦ ἀδύτου, συμπονεῖ καὶ συμπαρασυνεύχεται τῷ ἱερεῖ. δέεται τοίνυν ὁ ἱερεὺς τοῦ θεοῦ καὶ πατρὸς, ὡς μέσον θεοῦ καὶ ἀνθρώπων ἱστάμενος πρέσβυς, ἵνα μὴ κώλυμα γένηται τῆς τοῦ παναγίου πνεύματος ἐπελεύσεως, ἀλλὰ καταπέμψῃ καὶ αὖθις τὸ πανταχοῦ παρὸν θεῖον καὶ τελεταρχικὸν καὶ ἁγιαστικὸν πνεῦμα, δι' οὗ τὰ πάντα τά τε ἐν οὐρανῷ, τά τε ἐπὶ γῆς λεγόμενα ἅγια, τῇ μετοχῇ τῆς ἁγιαστικῆς αὐτοῦ χάριτος ἁγιάζεται· εἰς τὸ τελεσιουργῆσαι τὸν προκείμενον εἰς θυσίαν ἄρτον καὶ τὸ ποτήριον, καὶ ποιῆσαι αὐτὰ, αὐτὸ ἐκεῖνο τὸ κυριακὸν σῶμα καὶ αἷμα τοῦ χριστοῦ· ὁ πατὴρ γὰρ εὐδόκησε, φασὶ τὰ παρ' ἡμῖν λόγια, καὶ ὁ υἱὸς ἐσκήνωσε, καὶ ἡ παρθένος ἔτεκε θεὸν ἐνανθρωπήσαντα, καὶ τὸ ἅγιον πνεῦμα συνήργησεν· ὃ καὶ ἐκ τῶν παρθενικῶν αἱμάτων μέρος λαβὸν, ᾠκοδόμησε τὸν σωματικὸν ναὸν τοῦ χριστοῦ. κἀντεῦθεν δηλοῦμεν καὶ τὸ ἀχώριστον καὶ ἰσοδύναμον, καὶ ὁμοφυὲς καὶ παντοδύναμον τῆς ἁγίας τριάδος, εἰ καὶ ταῖς ὑποστάσεσι διῄρηται, καὶ ὅτι ἔνθα ἐστὶ μία τῶν τριῶν ὑποστάσεων, ἀχωρίστως καὶ αἱ λοιπαὶ δύο τῇ φύσει σύνεισιν, ὡς συνδημιουργαὶ καὶ τοῦ παντὸς προνοητικαί. Αχ. καλῶς τὰ ἀπόρρητα διεξέρχῃ· ἀλλὰ τί δήποτε ὁ χριστὸς τὸ σῶμα αὐτοῦ ἐσθίειν τοῖς εἰς αὐτὸν πιστεύουσι παρέδωκεν.

Σα. Ἀρρήτῳ φιλανθρωπίᾳ καὶ θαυμαστῇ οἰκονομίᾳ ἐγένετο τοῦτο μὲν, πρὸς ἀποτροπὴν τῶν ἐναντίων δυνάμεων· τοῦτο δὲ, καὶ εἰς θεοποίησιν ἡμῶν ψυχῆς ἅμα καὶ σώματος· ἐπειδὴ οὐκ ἦν δυνατὸν ἔτι καὶ σωματικῶς ἡμῖν τοῖς ἐπὶ γῆς τὸν χριστὸν μέχρι συντελείας τοῦ αἰῶνος συναναστρέφεσθαι καὶ συνδιάγειν, καὶ τὰς παντοίας νόσους ἡμῶν ἑκάστῃ ὥρᾳ ἰᾶσθαι· διὰ τοῦτο τοίνυν παντοδύναμος ὢν καὶ πολυεύσπλαγχνος καὶ φιλάνθρωπος, ἠβουλήθη ἡμᾶς μὴ χωρίζεσθαι ἀπ' αὐτοῦ, ἀλλ' ὡς τέκνα αὐτῷ συνεῖναι διὰ τῆς μετοχῆς καὶ κοινωνίας τούτου τοῦ ἄρτου καὶ τοῦ οἴνου καὶ τοῦ ὕδατος, ὡς συνηθεστέρων ὄντων τῇ ἡμετέρᾳ φύσει καὶ μὴ βδελυκτῶν, εἰς σῶμα αὐτοῦ καὶ αἷμα μεταβαλλομένων θείᾳ δυνάμει κατὰ τὴν αὐτοῦ πρόσταξιν· ὃ καὶ εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον, καὶ φυλακτήριον ψυχῆς τε

καὶ σώματος τοῖς πιστοῖς ἀξίως μεταλαμβάνουσι γίνεται· ἐὰν γὰρ μὴ φάγητε, ἔφη, τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίνητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς· διὸ δὲ ἡμῖν οὕτω παραδοθὲν, καὶ φυλάττεται καὶ ἀναμφιβόλως πιστεύεται, ἄχρις οὗ ἂν αὐτὸς ἔλθῃ κατὰ τὴν τοῦ Παύλου φωνήν. Αχ. αὕτη ἄρα ἡ κοινωνία καὶ ἡ θυσία τοῦ σώματος καὶ αἵματος τοῦ χριστοῦ ἣν προσφέρετε οἱ ἱερεῖς, σῶμα καὶ αἷμα ἀληθινόν ἐστι χριστοῦ, ἢ ἀντίτυπος τοῦ σώματος αὐτοῦ, ὡς ἡ θυσία τοῦ τράγου ἣν ἰουδαῖοι προσάγουσι; Σα. μὴ γένοιτο ἡμᾶς εἰπεῖν ἀντίτυπον τοῦ σώματος τοῦ χριστοῦ τὴν ἁγίαν κοινωνίαν, ἢ ψιλὸν ἄρτον, ἢ τύπον, ἢ εἰκόνα, ἀλλ' αὐτὸ τὸ σῶμα καὶ αἷμα ἀληθῶς χριστοῦ τοῦ θεοῦ ἡμῶν τεθεωμένον μεταλαμβάνειν, τοῦ σαρκωθέντος καὶ γεννηθέντος ἐκ τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· οὕτω γὰρ πιστεύομεν, καὶ οὕτως ὁμολογοῦμεν κατὰ τὴν φωνὴν αὐτοῦ τοῦ χριστοῦ, ἣν πρὸς τοὺς μαθητὰς ἐπὶ τοῦ δείπνου τοῦ μυστικοῦ μεταδιδοὺς αὐτοῖς τὸν ζωοποιὸν ἄρτον, ἔλεγε, λάβετε, φάγετε, τοῦτό μου ἐστὶ τὸ σῶμα. ὡσαύτως καὶ τὸ ποτήριον μεταδιδοὺς αὐτοῖς, φησὶ, τοῦτό μου ἐστὶ τὸ αἷμα· οὐκ εἶπε, τοῦτό μου ἐστὶ τὸ ἀντίτυπον τοῦ σώματος καὶ τοῦ αἵματος, ἢ ἡ εἰκών. καὶ ἐν ἑτέροις δὲ πλείοσι τόποις φαίνεται ὁ χριστὸς εἰπὼν, ὅτι ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἔχει ζωὴν αἰώνιον. λοιπὸν, αὐτοῦ τοῦ χριστοῦ μαρτυροῦντος, ὅτι σῶμα αὐτοῦ ἐστιν ἀληθῶς καὶ αἷμα, ὅπερ οἱ πιστοὶ προσάγοντες μεταλαμβάνομεν, τί δεῖ πλέον περὶ τούτου ἀμφιβάλλειν, εἰ θεὸν καὶ υἱὸν τοῦ θεοῦ αὐτὸν εἶναι πιστεύομεν· εἰ γὰρ ἐκ τοῦ μὴ ὄντος τὸν κόσμον πεποίηκε, καὶ ὁ αὐτοῦ λόγος ἀληθής ἐστι καὶ ζῶν καὶ ἐνεργὴς καὶ παντοδύναμος, καὶ πάντα ὅσα ἠθέλησεν ὁ κύριος ἐποίησεν, οὐ δύναται τὸν ἄρτον εἰς τὸ ἴδιον αὐτοῦ σῶμα μεταποιῆσαι, καὶ τὴν τοῦ ὕδατος καὶ οἴνου κρᾶσιν εἰς τὸ ἴδιον αἷμα; ὡς γὰρ εἶπεν ἐν τῇ ἀρχῇ, βλαστησάτω ἡ γῆ χλοάζουσαν βοτάνην, καὶ μέχρι τοῦ νῦν ὕοντος αὐτοῦ βλαστάνει βοτάνας ἡ γῆ, ὑπερασπιζομένη καὶ βιαζομένη ὑπὸ τῆς κελεύσεως τοῦ θεοῦ· οὕτως εἶπεν ὁ θεὸς, τοῦτό ἐστι τὸ σῶμά μου, καὶ τοῦτό ἐστι τὸ αἷμά μου, καὶ τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν, καὶ ταύτῃ τῇ τοῦ παντοδυνάμου προστάξει μέχρι τῆς αὐτοῦ δευτέρας παρουσίας, γίνεται, θείᾳ ἐπιπνοίᾳ καὶ ἐπιφοιτήσει τοῦ ἁγίου πνεύματος. Αχ. Αλλὰ διὰ τί μᾶλλον ὁ χριστὸς ὑπὸ τῶν εἰδῶν τοῦ ἄρτου καὶ τοῦ οἴνου, καὶ ὕδατος, τοῦ σώματος αὐτοῦ κεκρυμμένου καὶ τοῦ αἵματος, μεταλαμβάνειν παρέδωκεν, ἢ ὑπὸ ἄλλῃ ὕλῃ. Σα: καὶ ἤδη εἴρηκα περὶ τούτου, καὶ πάλιν λέξω· θεοῦ συγκαταβάσει καὶ ἀφάτῳ προνοίᾳ, ἀφέσει τε καὶ ἀξιώσει εἰς ἡμᾶς τοῦτ' ἐγένετο, ἵνα τοῖς τῆς φύσεως συνήθεσιν, εἰς τὸ φαγεῖν καὶ πιεῖν διαπερῶμεν καὶ ἀναφερώμεθα εἰς τὰ ὑπὲρ φύσιν, φημὶ δὴ εἰς τὰ θεῖα μυστήρια. ἀλλ' ὥσπερ ἐν πᾶσι τοῖς ἄλλοις βρώμασιν ὁ ἄρτος τὴν πρώτην εἴληφε τάξιν, ὁμοίως καὶ ἐν τοῖς ποτοῖς τὸ ὕδωρ καὶ ὁ οἶνος προτερεύει. τούτοις τοίνυν, τῷ ἄρτῳ φημὶ καὶ τῷ οἴνῳ καὶ ὕδατι

ἡμῖν

ἡμῖν ἐπιτηδείοις συζεύξας ὁ κύριος τὴν αὐτοῦ θεότητα, τῇ δυνάμει τοῦ ῥήματος αὐτοῦ, ᾗ τὰ πάντα ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγεν, εἰς τὸ ἴδιον αὐτοῦ σῶμα καὶ αἷμα αὐτὰ μεταβάλλει· ἄρτος δ' ὅμως καὶ οἶνος παραλαμβάνεται καὶ φαίνεται. καὶ τοῦτο τῆς οἰκονομικῆς ἐστι καὶ συγκαταβατικῆς δωρεᾶς, ἀφαιρεῖται ἡμᾶς τὴν φρίκην καὶ τὸν φόβον, ὃν φέροντες κατείχομεν ἄν, εἰ τὴν αὐτοῦ σάρκα ἐν τῷ αὐτῆς ἰδίῳ εἴδει, καὶ τὸ αἷμα ἐκέλευσεν ἡμᾶς λαμβάνειν. πρὸς τούτοις δὲ, καὶ τὰ ἔκφυλα γένη, ἢ μᾶλλον σαρκοβορίαν κατέγνωσαν ἄν, λέγοντα δίκην θηρίων ἡμᾶς αἱμοποτεῖν καὶ ὠμοβορεῖν, ἀλλὰ διὰ τὴν ἀπιστίαν, ἄρτον μόνον καὶ οἶνον ὁρῶσιν· οἱ δὲ πιστοὶ, σῶμα τοῦ χριστοῦ, καὶ αἷμα τὸ ἐκ τῆς ἀχράντου χεόμενον πλευρᾶς· ὥσπερ καὶ ἐν τῷ τοῦ βαπτίσματος λουτρείῳ οἱ ἀπιστίᾳ κατεχόμενοι, ὕδωρ μόνον ἐπὶ τῆς κολυμβήθρας ὁρῶσιν· οἱ δὲ πιστοὶ, τὸ ὕδωρ καὶ πῦρ καὶ πνεῦμα καθορῶσιν. ὅταν δὲ καὶ ἐκεῖνοι μέτοχοι γίνωνται τοῦ βαπτίσματος, τότε καὶ αὐτοὶ τὸ βέβαιον ἐκ τοῦ αἰσθητοῦ λαμβάνουσι πρὸς τὴν ἀόρατον ἀναγέννησιν. ὥστε, εἴ τις ἐστὶν ἐν τῷ ὕδατι χάρις, οὐκ ἐκ τῆς φύσεώς ἐστι τοῦ ὕδατος, ἀλλ' ἐκ τῆς τοῦ πνεύματος παρουσίας. Αχ. πρόδηλον ὅτι πάντα εἶπον καλῶς κηρύττεις καὶ διεξέρχῃ τὰ τῆς πίστεως τοῦ χριστοῦ μυστήρια· περὶ τούτου δὲ ἀπορήσειεν ἄν τις, πῶς εἷς ὢν ὁ θεὸς καὶ τὸ σῶμα τοῦ χριστοῦ ἕν, εἰς ἀναρίθμητα σώματα καὶ μέρη διαιρεῖται. πολλοὶ τὰ διαιρούμενα ἄρα χριστοί εἰσιν, ἢ εἷς, ἢ ἐν ἑκάστῳ μέρει εἷς, καὶ ὁ αὐτὸς σῶος καὶ ὁλόκληρος. Σα. ἐκ τῶν αἰσθητῶν καὶ ὑλικῶν παραδειγμάτων, τὰ ἄϋλα καὶ τὰ ὑπὲρ φύσιν ἀποδεικνύομεν. ἀκουέτω τοίνυν τούτου τοῦ παραδείγματος, καὶ νοείτω τὴν ἐν αὐτῷ ἐγκεκρυμμένην τοῦ λόγου δύναμιν. θετέον· κάτοπτρόν τις ἐσχηκὼς προσούδισε, καὶ εἰς πολλὰ κλάσματα κατέκλασεν· ἐν ἑκάστῳ δ' ὅμως κλάσματι τὴν σκιὰν σώαν τις ὄψεται· οὕτω νοῆσαι ἄν τις καὶ ἐκ ταύτης τῆς σκιᾶς, τὴν τοῦ χριστοῦ σάρκα εἶναι σώαν τε ὁλόκληρον ἐν ἑκάστῳ κλάσματι, καθ' ὥραν καὶ ὁσάκις καὶ πανταχοῦ κλωμένῳ. καὶ αὖθις λάβε καὶ ἕτερον παράδειγμα· πᾶν ὅ, τι ἂν ἄνθρωπος ῥῆμα προφέρων λέγῃ, καὶ ὁ λέγων νοεῖ αὐτὸ καὶ ἀκούει, καὶ οἱ περὶ αὐτὸν ἀκούουσιν, εἰ καὶ πολλοὶ εἶεν οἱ ἀκούοντες, οὐ διῃρημένον, ἀλλ' ὁλόκληρον· τὸ αὐτὸν εἶπον θετέον καὶ ἐπὶ τοῦ σώματος τοῦ χριστοῦ. τὸ τοῦ χριστοῦ πανάγιον σῶμα, καθεζόμενον παρὰ τῷ πατρὶ, μένει ἐν αὐτῷ· ἀλλὰ δὴ τε ὁ ἱερουργούμενος ἄρτος εἰς τὸ ἀληθὲς τοῦ χριστοῦ σῶμα μεταβαλλόμενος δυνάμει θείᾳ δι' ἐπιφοιτήσεως τοῦ παναγίου πνεύματος, καίπερ μερίζεται, ἀλλ' ὁλόκληρον καὶ σῶον ἐν ἑκάστῳ κλάσματι σώζεται, ὡς καὶ ὁ λόγος τοῦ λέγοντος πρὸς πάντας τοὺς ἀκούοντας, ὁλόκληρος καὶ οὐ διῃρημένος ἀκούεται. οὕτω διὰ τῶν ὁρατῶν καὶ αἰσθητῶν παραδειγμάτων τοὺς ἀπειθεῖς καὶ περιέργους εἰς τὸ καταμηνῦσαι τὰ τοῦ θεοῦ μυστήρια ὑπὲρ φύσιν καὶ λόγον τε ἔννοιαν καὶ ὑπὲρ ἡμᾶς ὄντα ἀνάγομεν. ὅταν τοίνυν ὁ ἀ-

κλασθεὶς ἄρτος εἰς μέρη τέμνηται, ὃς τὸ πανάγιον τοῦ χριστοῦ ἐστὶ σῶμα, μὴ νομίσῃς ὅτι μερίζεται ἢ ἀποσπᾶται ἢ διαιρεῖται τὸ ἄχραντον ἐκεῖνο σῶμα· ἀθάνατον γὰρ καὶ ἄφθαρτον καὶ ἀδαπάνητον· ἀλλ' ὅτι μερισμός ἐστιν ἐκεῖνος τῶν αἰσθητῶν συμβεβηκότων μόνον μετὰ τὸν ἁγιασμόν, πρὸς ῥώμην πίστεως καὶ παράστασιν ὅρα τοῦ σημείου τῶν μελλόντων, καὶ ἀρραβῶνα καὶ ἐφόδιον ζωῆς αἰωνίου. Αχ. Οντως θαυμαστὰ καὶ παράδοξα καὶ ὑπὲρ φύσιν καὶ νοῦν καὶ ἔννοιαν ἀνθρωπίνην τὰ τῆς πίστεως τῶν χριστιανῶν ἀπόρρητα μυστήρια, πάτερ ἀββᾶ· εὐχαριστῶ δέ σοι, ὅτι καὶ ἡμῖν ἀπέδειξας ἄγαν ὁμαλώτατον καὶ λεῖον καὶ ἀληθὲς δόγμα, τὸν χριστὸν παντοδύναμον καὶ φιλάνθρωπον καὶ ἀληθῆ θεὸν ὑποδεικνύον, ἐξ οὗ ἀπελήλαται τὸ ψεῦδος· ἐξελήλαται δὲ καὶ πᾶσα φαντασία. ἀλλ' ἴωμεν· ἀγίως γὰρ ταῦτα πεφιλοσόφηται. μυωπίζομεν δὲ ἔτι μᾶλλον, ἐπεὶ ὡς ὁρᾷς, κέκλικεν ἡ ἡμέρα.

ΜΆΡΚΟΥ ἈΡΧΙΕΠΙΣΚΌΠΟΥ ΕΦΕΣΟΥ, ΟΤΙ ΟΥ ΜΟΝΟΝ ΑΠΟ

τῆς φωνῆς τῶν δεσποτικῶν ῥημάτων ἁγιάζονται τὰ θεῖα δῶρα, ἀλλ' ἐκ τῆς μετὰ ταῦτα εὐχῆς καὶ εὐλογίας τοῦ ἱερέως, δυνάμει τοῦ ἁγίου πνεύματος.

ΗΜΕΙΣ ἐκ τῶν ἱερῶν ἀποστόλων καὶ τῶν διαδεξαμένων αὐτοὺς διδασκάλων τῆς ἐκκλησίας, τὴν τῆς μυστικῆς λειτουργίας ἔκθεσιν παρειληφότες, παρ' οὐδενὶ τούτων εὕρομεν ὑπ' αὐτῶν τῶν δεσποτικῶν ῥημάτων καὶ μόνον ἁγιάζεσθαι καὶ τελειοῦσθαι τὰ τῆς εὐχαριστίας δῶρα, καὶ πρὸς αὐτὸ τὸ δεσποτικὸν σῶμα καὶ αἷμα μεταποιεῖσθαι· ἀλλὰ προλεγόμενα μὲν διηγηματικῶς τὰ ῥήματα παρὰ πᾶσι συμφώνως, ἡμᾶς τε ἀναφέρονται τὰ πρὸς τὴν μνήμην τοῦ τότε πραχθέντος, καὶ δύναμιν ὥσπερ ἐνιέντα τοῖς προκειμένοις εἰς τὴν μεταβολήν· ἐπιγινομένην δὲ μετὰ ταῦτα τὴν εὐχήν τε καὶ εὐλογίαν τοῦ ἱερέως, ἐνεργείᾳ μεταποιεῖν ἤδη τὰ δῶρα πρὸς αὐτὸ τὸ πρωτότυπον ἐκεῖνο σῶμα καὶ αἷμα τὸ δεσποτικόν. ταῦτα δὲ καὶ αἱ ἐκθέσεις αὐταὶ μαρτυροῦσι, σύμφωνοι παρ' ἡμῖν εὑρισκόμεναι· καὶ ὁ λόγος ἐπὶ ταύταις ἀποδοθήσεται. ἐν μὲν γὰρ τῇ συγγραφείσῃ διὰ Κλήμεντος λειτουργίᾳ τῶν ἱερῶν ἀποστόλων, μετὰ τὸ διηγήσασθαι τὰ δεσποτικὰ θαύματα καὶ τὰς πράξεις, ἔτι δὲ τὰ περὶ τὸ πάθος καὶ τὴν ἀνάστασιν καὶ τὴν εἰς οὐρανοὺς ἄνοδον, οὕτω κεῖται ῥητῶς· Μεμνημένοι οὖν ὧν δι' ἡμᾶς ὑπέμεινεν, εὐχαριστοῦμέν σοι θεὲ παντοκράτορ,

οὐχ

οὐχ ὅσον ὀφείλομεν, ἀλλ' ὅσον δυνάμεθα, καὶ τὴν διάταξιν αὐτοῦ πληροῦμεν. ἐν ᾗ γὰρ νυκτὶ παρεδίδοτο, λαβὼν ἄρτον ταῖς ἁγίαις καὶ ἀμώμοις αὐτοῦ χερσί, καὶ ἀναβλέψας πρὸς σὲ τὸν θεὸν αὐτοῦ καὶ πατέρα, καὶ κλάσας, ἔδωκεν τοῖς μαθηταῖς αὐτοῦ εἰπών· λάβετε ἐξ αὐτοῦ, φάγετε· τοῦτό ἐστι τὸ σῶμά μου τὸ περὶ πολλῶν θρυπτόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. ὡσαύτως καὶ τὸ ποτήριον κεράσας ἐξ οἴνου καὶ ὕδατος, καὶ ἁγιάσας, ἔδωκεν αὐτοῖς λέγων· πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό ἐστι τὸ αἷμά μου τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. μεμνημένοι τοίνυν τοῦ πάθους αὐτοῦ καὶ τοῦ θανάτου, καὶ τῆς ἀναστάσεως, καὶ τῆς εἰς οὐρανοὺς ἐπανόδου, καὶ τῆς μελλούσης αὐτοῦ δευτέρας παρουσίας, ἐν ᾗ ἔρχεται κρῖναι ζῶντας καὶ νεκρούς, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, προσφέρομέν σοι τῷ βασιλεῖ καὶ θεῷ κατὰ τὴν αὐτοῦ διάταξιν, τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον τοῦτο, εὐχαριστοῦντές σοι δι' αὐτοῦ, ἐφ' οἷς κατηξίωσας ἡμᾶς ἑστάναι ἐνώπιόν σου καὶ ἱερατεύειν σοι· καὶ ἀξιοῦμέν σε, ὅπως εὐμενῶς ἐπιβλέψῃς ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα ἐνώπιόν σου, σὺ ὁ ἀνενδεὴς θεός· καὶ εὐδοκήσῃς ἐπ' αὐτοῖς εἰς τιμὴν τοῦ χριστοῦ σου· καὶ καταπέμψῃς τὸ ἅγιόν σου πνεῦμα ἐπὶ τὴν θυσίαν ταύτην, τὸν μάρτυρα τῶν παθημάτων τοῦ κυρίου Ἰησοῦ, ὅπως ἀποφήνῃ τὸν ἄρτον τοῦτον, σῶμα τοῦ χριστοῦ σου· καὶ τὸ ποτήριον τοῦτο, αἷμα τοῦ χριστοῦ σου. Ταῦτα μὲν οἱ θεῖοι ἀπόστολοι διὰ τῆς συγγραφῆς τοῦ μακαρίου Κλήμεντος τῇ ἐκκλησίᾳ παραδεδώκασιν. ὁ δέ γε θεῖος Ἰάκωβος ὁ τῆς Ἱεροσολύμων πρῶτος ἐπίσκοπος, καὶ τοῦ πρώτου καὶ μεγάλου ἀρχιερέως ἀδελφὸς ὁμοῦ τε καὶ διάδοχος, καὶ αὐτὸς τὴν μυστικὴν ἐκτιθέμενος λειτουργίαν, ἐν τῷ αὐτῷ μέρει μετὰ τὸ διηγήσασθαι τὰ δεσποτικὰ ῥήματα, τάδε γράφει· Μεμνημένοι οὖν καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ τῶν ζωοποιῶν αὐτοῦ παθημάτων, τοῦ σωτηρίου σταυροῦ, καὶ τοῦ θανάτου, καὶ τῆς ταφῆς, καὶ τῆς τριημέρου ἐκ νεκρῶν ἀναστάσεως, καὶ τῆς εἰς οὐρανοὺς ἀνόδου, καὶ τῆς ἐκ δεξιῶν σοῦ τοῦ θεοῦ καὶ πατρὸς καθέδρας, καὶ τῆς δευτέρας ἐνδόξου καὶ φοβερᾶς αὐτοῦ παρουσίας, ὅταν ἔλθῃ μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, ὅταν μέλλῃ ἀποδιδόναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, προσφέρομέν σοι δέσποτα τὴν φοβερὰν ταύτην καὶ ἀναίμακτον θυσίαν. καὶ μετ' ὀλίγα· Ἐλέησον ἡμᾶς ὁ θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ ἐξαπόστειλον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα ἅγια δῶρα ταῦτα τὸ πνεῦμά σου τὸ πανάγιον, τὸ κύριον καὶ ζωοποιόν, τὸ σύνθρονον σοὶ τῷ θεῷ καὶ πατρί, καὶ τῷ μονογενεῖ σου υἱῷ, τὸ συμβασιλεῦον, τὸ ὁμοούσιόν τε καὶ συναΐδιον, τὸ λαλῆσαν ἐν νόμῳ καὶ προφήταις, καὶ τῇ καινῇ σου διαθήκῃ, τὸ καταβὰν ἐν εἴδει περιστερᾶς ἐπὶ τὸν κύριον ἡμῶν Ἰησοῦν χριστὸν ἐν τῷ Ἰορδάνῃ ποταμῷ, καὶ μεῖναν ἐπ' αὐτόν, τὸ καταβὰν ἐπὶ τοὺς ἁγίους σου ἀποστόλους ἐν εἴδει πυρίνων γλωσσῶν ἐν τῷ ὑπερῴῳ τῆς ἁγίας καὶ ἐνδόξου Σιὼν ἐν τῇ

ἡμέρα τῆς ἁγίας πεντηκοστῆς· αὐτὸ τὸ πνεῦμά σου τὸ πανάγιον κατάπεμψον δέσποτα ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα ἅγια δῶρα ταῦτα, ἵνα ἐπιφοιτῆσαν τῇ ἁγίᾳ καὶ ἀγαθῇ καὶ ἐνδόξῳ αὐτοῦ παρουσίᾳ, ἁγιάσῃ καὶ ποιήσῃ, τὸν μὲν ἄρτον τοῦτον, σῶμα ἅγιον τοῦ χριστοῦ σου· καὶ τὸ ποτήριον τοῦτο, αἷμα τίμιον τοῦ χριστοῦ σου. Τούτοις ἀκολουθοῦντες καὶ οἱ μετὰ ταῦτα τὴν αὐτὴν λειτουργίαν ἐπιτεμόντες, ὅ, τε μέγας Βασίλειος, καὶ μετ' αὐτὸν ὁ χρυσόστομος Ἰωάννης, ὁ μὲν περὶ τοῦτο τὸ μέρος γενόμενος, καὶ αὐτὸς διηγούμενος τὴν πρώτην ἐκείνην ἱερουργίαν ὑπὸ τοῦ δεσπότου παραδεδομένην, Κατέλιπε, φησὶν, ἡμῖν ὑπομνήματα τοῦ σωτηρίου αὐτοῦ πάθους, ταῦτα ἃ προτεθείκαμεν κατὰ τὰς αὐτοῦ ἐντολάς· μέλλων γὰρ ἐξιέναι ἐπὶ τὸν ἑκούσιον καὶ ἀοίδιμον καὶ ζωοποιὸν αὐτοῦ θάνατον, τῇ νυκτὶ ᾗ παρεδίδου ἑαυτὸν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐπὶ τῶν ἁγίων αὐτοῦ καὶ ἀχράντων χειρῶν, καὶ ἀναδείξας σοὶ τῷ θεῷ καὶ πατρὶ, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας, κλάσας, ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, εἰπών, λάβετε, φάγετε, τοῦτό μου ἐστὶ τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν. ὁμοίως καὶ τὸ ποτήριον ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου λαβὼν, κεράσας, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας, ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις εἰπών, πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. καὶ μετ' ὀλίγα· Διὰ τοῦτο δέσποτα πανάγιε καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ καὶ ἀνάξιοι δοῦλοί σου, οἱ καταξιωθέντες λειτουργεῖν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, οὐ διὰ τὰς δικαιοσύνας ἡμῶν· οὐ γὰρ ἐποιήσαμέν τι ἀγαθὸν ἐπὶ τῆς γῆς, ἀλλὰ διὰ τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου, οὓς ἐξέχεας πλουσίως ἐφ' ἡμᾶς, θαρροῦντες προσεγγίζομεν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ προσθέντες τὰ ἀντίτυπα τοῦ ἁγίου σώματος καὶ αἵματος τοῦ χριστοῦ σου, σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν ἅγιε ἁγίων, εὐδοκίᾳ τῆς σῆς ἀγαθότητος, ἐλθεῖν τὸ πνεῦμά σου τὸ ἅγιον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα, καὶ εὐλογῆσαι αὐτὰ καὶ ἁγιάσαι, καὶ ἀναδεῖξαι, τὸν μὲν ἄρτον τοῦτον, αὐτὸ τὸ τίμιον σῶμα τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ· τὸ δὲ ποτήριον τοῦτο, αὐτὸ τὸ τίμιον αἷμα τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ, τὸ ἐκχυθὲν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. ὁ δέ γε θεῖος Χρυσόστομος τὰ αὐτὰ πάλιν ἐπιτομώτερον ἀπαγγέλλων, Ἐλθὼν ὁ κύριος, φησὶ, καὶ πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πληρώσας, τῇ νυκτὶ ᾗ παρεδίδοτο, μᾶλλον δὲ ἑαυτὸν παρεδίδου, ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐν ταῖς ἁγίαις αὐτοῦ καὶ ἀχράντοις καὶ ἀμωμήτοις χερσὶν, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας, κλάσας, ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις εἰπών· λάβετε, φάγετε, τοῦτό μου ἐστὶ τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον, εἰς ἄφεσιν ἁμαρτιῶν. ὁμοίως καὶ τὸ ποτή-

εἶναι μετὰ τὸ διαπνῆσαι λέγων· πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον, εἰς ἄφεσιν ἁμαρτιῶν. καὶ μετὰ μικρὸν, οὕτως ἐπισυνάπτει. Προσφέρομέν σοι τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον λατρείαν· καὶ παρακαλοῦμεν, καὶ δεόμεθα, καὶ ἱκετεύομεν, κατάπεμψον τὸ πνεῦμά σου τὸ ἅγιον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα, καὶ ποίησον, τὸν μὲν ἄρτον τοῦτον, τίμιον σῶμα τοῦ χριστοῦ σου· τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ, τίμιον αἷμα τοῦ χριστοῦ σου, μεταβαλὼν τῷ πνεύματί σου τῷ ἁγίῳ. οὕτω μὲν ἅπαντες οὗτοι συμφώνως, προλέγουσι μὲν τὰ δεσποτικὰ ῥήματα, καὶ δι' αὐτῶν εἰς ἀνάμνησιν ἡμᾶς ἄγουσι τοῦ τότε προρρηθέντος, καὶ τὴν ἁγιαστικὴν δύναμιν ἐνῶσι πληρουμένοις· ἐπεύχονται δὲ ὕστερον, καὶ τὴν τοῦ ἁγίου πνεύματος ἐπικαλοῦνται χάριν, ὥστε αὐτὴν ἐλθοῦσαν, τὰ εἰρημένα τότε, τοῖς νῦν ἐφαρμόσαι, καὶ τὰ προκείμενα τελειῶσαι, καὶ πρὸς τὸ δεσποτικὸν σῶμα καὶ αἷμα μεταποιῆσαι· αὕτη γὰρ καὶ ἐν τῇ μήτρᾳ τῆς παρθένου τὴν θεοφόρον ἐκείνην συνεστήσατο σάρκα, κατὰ τὸ εἰρημένον πρὸς αὐτὴν ὑπὸ τοῦ ἀγγέλου, πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι. διὰ τοῦτο καὶ ὁ μέγας Βασίλειος, μετὰ τὸ εἰπεῖν τὰ δεσποτικὰ ῥήματα διηγηματικῶς ὡς παρ' αὐτοῦ εἰρημένα ἐπὶ τοῦ ἁγίου σώματος καὶ αἵματος, ἀντίτυπα καλεῖ τὰ προκείμενα, δῆλον ὡς μήπω τετελεσμένα διὰ τῶν ῥημάτων ἐκείνων, ἀλλ' ἔτι τύπον τινὰ καὶ εἰκόνα φέροντα. καὶ οὕτως εὐθὺς ἐφεξῆς τὸ πνεῦμα τὸ ἅγιον ἐλθεῖν ἐπεύχεται, καὶ ἀναδεῖξαι, τὸν μὲν ἄρτον, αὐτὸ τὸ τίμιον σῶμα· τὸ δὲ ποτήριον, αὐτὸ τὸ τίμιον αἷμα. καὶ τοῦτό γε λίαν εἰκότως· καθάπερ γὰρ ἐπὶ τῆς πρώτης ἐκείνης δημιουργίας, ἔλαβε μὲν ἡ γῆ τὴν τοῦ βλαστάνειν τὰ ἐξ αὐτῆς δύναμιν διὰ τοῦ θείου προστάγματος, καὶ τὸ πρόσταγμα ἐκεῖνο καθά φησιν ὁ αὐτὸς διδάσκαλος, ἐναπομεῖναν τῇ γῇ, τὴν τοῦ βλαστάνειν αὐτῇ διηνεκῶς παρέχεται δύναμιν· χρεία δ' ὅμως καὶ ἡμετέρας ἐπιμελείας, καὶ γεωργικῶν χειρῶν εἰς τὸ τελεσιουργεῖν τὰ φυόμενα· τὸν αὐτὸν τρόπον καὶ ὁ λόγος οὗτος, ἅπαξ ῥηθεὶς ὑπὸ τοῦ σωτῆρος, ὡς καὶ ὁ θεῖος φησὶ Χρυσόστομος, διὰ παντὸς ἐνεργεῖ· συνεργεῖ δὲ ὅμως καὶ ἡ τῆς θείας ἱερωσύνης δύναμις, διὰ τῆς εὐχῆς καὶ τῆς εὐλογίας εἰς τὴν τῶν προκειμένων τελείωσιν· αὕτη γὰρ καὶ τὸ τοῦ βαπτίσματος ὕδωρ, ὕδωρ ὂν ἁπλῶς ἐκ τοῦ φαινομένου, πάσης ἁμαρτίας καθαρτικὸν ἀπεργάζεται, τοῦ θείου πνεύματος ἀθεωρήτως συντρέχοντος· αὕτη καὶ τὸ χρίσμα τοῦ μύρου καὶ τοὺς ἱερεῖς αὐτοὺς καὶ τὰ ἄλλα πάντα τῆς ἐκκλησίας μυστήρια τελεσιουργεῖ, διὰ τῆς τοῦ παναγίου πνεύματος χάριτος. οὐ τοίνυν τῇ ἡμετέρᾳ εὐχῇ θαρροῦντες, οὐδὲ τῶν ῥημάτων ἐκείνων ἀδυναμίαν καταγινώσκοντες, ἐπευχόμεθα τοῖς προκειμένοις, καὶ οὕτως αὐτὰ τελειοῦσθαι πιστεύομεν, ἀλλὰ καὶ τὰ ῥήματα τὴν οἰκείαν σώζειν ὁμολογοῦμεν ἰσχύν, καὶ τὸ τῆς θείας ἱερωσύνης ἐπιδείκνυμεν

δύναμιν, τελεωτικὴν οὖσαν πάντως τοῦ μυστηρίου τῇ ἐπικλήσει τοῦ δι' αὐτῆς ἐνεργοῦντος ἁγίου πνεύματος· οὕτω γὰρ καὶ ὁ θεῖος Χρυσόστομος αὖθις, ἐν τῷ περὶ ἱερωσύνης τρίτῳ περὶ αὐτοῦ τούτου ταυτάδε φησίν· Ἕστηκεν ὁ ἱερεὺς, οὐ πῦρ καταφέρων, ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον, καὶ τὴν ἱκετηρίαν ἐπὶ πολὺ ποιεῖται, οὐχ ἵνα τις λαμπὰς ἄνωθεν ἀφθεῖσα, καταναλώσῃ τὰ προκείμενα, ἀλλ' ἵν' ἡ χάρις ἐπιπεσοῦσα τῇ θυσίᾳ, δι' ἐκείνης τὰς ἁπάντων ἀνάψῃ ψυχὰς, καὶ ἀργυρίου λαμπροτέρας ἀποδείξῃ πεπυρωμένου. ἀλλ' οὐδ' ἀμφιβολίαν τινὰ καὶ ἀδηλίαν εὐχομένους ἡμᾶς ὑποπτεύειν χρεών, αὐτοῦ τοῦ θυομένου καὶ μεταλαμβανομένου δεσπότου κελεύσαντος τοῦτο ποιεῖν ἡμᾶς· τοῦτο γὰρ φησι, ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· καὶ ἐπαγγελλομένου δώσειν πνεῦμα ἅγιον τοῖς αἰτοῦσιν αὐτὸ ἅπασι, μήτι γε ἱερεῦσι, καὶ σφόδρα γε βουλομένου τοῦτο καθ' ἑκάστην ἐπιτελεῖσθαι παρ' ἡμῶν, ὡς διὰ πάντων ἑξῆς ἀναφαίνεται. ἢ σύ γε τυχὸν ἐκ τούτου, καὶ τὸ βάπτισμα ὑποπτεύσεις, δι' εὐχῶν ὁμοίως καὶ ἐπικλήσεων τελούμενον, καὶ τὴν τῶν ἁμαρτιῶν ἄφεσιν, εἰ ἀληθῶς ἐδέξω, δισταγμόν τινα σχοίης διὰ τῆς ἱερατικῆς χάριτος ἐπιδιδομένην; καὶ τἄλλα πάντα δὲ ὁμοίως ἐκκλησιαστικὰ μυστήρια διαγράψειας. ἀλλ' οὐκ ἔστι ταῦτα οὐκ ἔστι· πιστὸς γὰρ ὁ ἐπαγγειλάμενος, μεθ' ἡμῶν ἔσεσθαι τὰς ἡμέρας ἁπάσας, ἄχρι τῆς συντελείας τοῦ αἰῶνος. ἡμεῖς μὲν οὖν ταῦτα παρὰ τῶν ἁγίων ἀποστόλων καὶ τῶν ἐκείνοις ἐκδεξαμένων παραλαβόντες, καὶ κατέχομεν ἀμεταποιήτως, καὶ τὸν γιγνόμενον ἐπ' αὐτοῖς ἀποδίδομεν λόγον. ὅτι δὲ ὁ τοῦ κυρίου περὶ τῶν μυστηρίων λόγος, ἐν εἴδει διηγήσεως λεγόμενος, πρὸς ἁγιασμὸν δώρων ἀρκεῖ, οὐδεὶς οὔτε τῶν ἀποστόλων, οὔτε τῶν διδασκάλων εἰπὼν φαίνεται· ἀλλ' ὅτι μὲν ἅπαξ ὑπ' ἐκείνου ῥηθεὶς, αὐτῷ τῷ ὑπ' ἐκείνου ῥηθῆναι, καθάπερ ὁ δημιουργικὸς λόγος ἀεὶ ἐνεργεῖ. τοῦτο φησὶν ὁ τὴν γλῶτταν χρυσοῦς Ἰωάννης. ὅτι δὲ νῦν ὑπὸ τοῦ ἱερέως λεγόμενος, διὰ τὸ ὑπ' αὐτοῦ λέγεσθαι τοῦτο δύναται, οὐδαμόθεν ἔστι μαθεῖν· ἐπεὶ οὐδ' αὐτὸς ὁ δημιουργικὸς λόγος ἐνεργεῖ, ὅτι ἐφ' ἑκάστῳ τῶν γινομένων ὑπό τινος ἀνθρώπου λέγεται· ἀλλ' ὅτι ἐστὶν ἅπαξ ὑπὸ τοῦ θεοῦ εἰρημένος. καὶ μὴν οὐδ' αὐτοὶ φήσουσιν ἐνεργεῖν τὸν δεσποτικὸν λόγον, ὑπὸ τοῦ τυχόντος ἁπλῶς λεγόμενον, οὐδ' ἄνευ θυσιαστηρίου. εἰ τοίνυν ἱερέως δεῖ καὶ θυσιαστηρίου, καὶ τῶν ἄλλων ὅσα πρὸς τοῦτο συντείνει, διὰ τί μὴ καὶ εὐχῶν δεήσει εὐλογίας, καὶ τῆς δι' αὐτῆς ἐπιφοιτήσεως τοῦ ἁγίου πνεύματος, ἥτις πάντα τελεῖ τὰ μυστήρια. πρὸς τούτοις, ὁ ἱερὸς Διονύσιος ἐπιμαρτυρήσων παρέστω τοῖς παρ' ἡμῶν τελουμένοις· ἐν γὰρ τῇ θεωρίᾳ τοῦ τῆς συνάξεως μυστηρίου, Τὰς ἱερὰς, φησὶ, θεουργίας ὁ ἱεράρχης ὑμνήσας, ἐπὶ τὴν ἱερουργίαν ἔρχεται· καὶ πρότερον μὲν ὑπὲρ ταύτης ἀπολογεῖται καὶ ἀναβοᾷ, σὺ εἶπας τοῦτο, ποιεῖτε εἰς ἐμὴν τὴν ἀνάμνησιν. εἶτα τῆς θεομιμήτου ταύτης ἱερουργίας ἄξιος αἰτεῖ γενέσθαι, καὶ τῷ πρὸς χριστὸν ἀφο-

μοιώσει

μονώσῃ τὰ θεῖα πανάγνως τελέσαι καὶ διαδοῦναι, καὶ τοὺς μεθέξοντας ἱεροπρεπῶς μετασχεῖν. εἶθ᾽ οὕτως ἱερουργεῖ τὰ θειότατα, καὶ ὑπ᾽ ὄψιν ἄγει τὰ ὑμνημένα διὰ τῶν ἱερῶς προκειμένων· τὸν γὰρ ἐγκεκαλυμμένον καὶ ἀδιαίρετον ἄρτον ἀνακαλύψας, εἰς πολλὰ διελών, καὶ τὸ ἑνιαῖον τοῦ ποτηρίου πᾶσι καταμερίσας, συμβολικῶς τὴν ἑνότητα πληθύνει τε καὶ διανέμει. καὶ μετ᾽ ὀλίγα· Μεταλαβὼν δὲ καὶ μεταδοὺς ὁ ἱεράρχης, εἰς εὐχαριστίαν ἱερὰν καταλήγει. Ταῦτα συνορᾶν ἔξεστι τῷ βουλομένῳ παντί, τίσιν ἐστὶ σύμφωνα, τοῖς παρ᾽ ἡμῶν τελουμένοις, ἢ τοῖς παρὰ λατίνων· ἡμεῖς μὲν γὰρ ἀκολουθοῦντες τοῖς ἱεροῖς ἀποστόλοις καὶ διδασκάλοις, κατὰ τὰς ὑπ᾽ αὐτῶν παραδεδομένας ἐκθέσεις, καὶ τούτῳ δὴ τῷ ἱεροφάντορι, τὰς ἱερὰς θεουργίας ὑμνοῦμεν, τουτέστιν ὡς αὐτός φησιν, τὴν δι᾽ ἡμᾶς ἐνανθρώπησιν τοῦ θεοῦ, τὸν ὑπὲρ ἡμῶν αὐτοῦ θάνατον, τὴν θεογενεσίαν τῶν βαπτιζομένων, τὴν θείαν υἱοθεσίαν, τὴν διὰ τῆς φυλακῆς τῶν ἐντολῶν θέωσιν· εἶθ᾽ οὕτως ἐπὶ τὴν ἱερουργίαν ἐρχόμενοι, πρότερον μὲν ὑπὲρ ταύτης ἀπολογούμεθα, καὶ ἀναβοῶμεν αὐτὰ τὰ δεσποτικὰ ῥήματα, ἅ τότε εἶπε· καὶ ἐπιλέγομεν, ὅτι αὐτὸς προσέταξε, τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· εἶτα τῆς θεομιμήτου ταύτης ἱερουργίας ἄξιοι αἰτοῦντες γενέσθαι, καθὰ περιέχουσιν αἱ ἐκθέσεις, ἱερουργοῦμεν τὰ θειότατα διὰ τῆς εὐχῆς καὶ εὐλογίας, καὶ τῆς τοῦ θείου πνεύματος ἐπιφοιτήσεως· καὶ τὸν ἐγκεκαλυμμένον τέως καὶ ἀδιαίρετον ἄρτον ἀνακαλύψαντες, εἰς πολλὰ διαιροῦμεν, καὶ τὸ ἑνιαῖον τοῦ ποτηρίου πᾶσι καταμερίζομεν. ὁ δὲ παρὰ λατίνοις ἱερεύς, μέμνηται μὲν καὶ αὐτὸς διηγηματικῶς τῶν δεσποτικῶν ῥημάτων, ὅτι αὐτὸς προσέταξε, λάβετε, φάγετε, καὶ πίετε πάντες· καὶ, τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· ἱερουργεῖ δὲ οὐδὲν μᾶλλον, ἀλλ᾽ οἴεται τὴν διήγησιν αὐτὴν τῶν ῥημάτων πρὸς τὸν ἁγιασμὸν καὶ τὴν ἱερουργίαν ἀρκεῖν· εἶτα τὸν ἄζυμον ἄρτον ἐκεῖνον, οὐκ ἐγκεκαλυμμένον τέως, ἀλλ᾽ ὅθεν ἔτυχεν οὕτω λαβὼν καὶ ὑψώσας, μέρος μὲν ἀπορρήγνυσι, καὶ τῷ ποτηρίῳ ἐμβάλλει· τὸ δὲ λοιπὸν καθίησιν εἰς τὸ στόμα, καὶ τὸ ποτήριον ἐκπιὼν ὅλον ὁμοίως, ἀσπάζεσθαι αὐτὸν προτρέπεται τοὺς συλλειτουργοῦντας αὐτῷ διακόνους, μηδενὶ μηδὲν μεταδούς, ὁ τό, λάβετε, φάγετε πάντες, καὶ πίετε ἐξ αὐτοῦ πάντες, μεγαλαυχῶν. Ταῦτα οὐ πρόδηλον φέρει τὴν ἐναντίωσιν καὶ πρὸς τὰς παραδεδομένας ἐκθέσεις καὶ ἐξηγήσεις, καὶ πρὸς τὰ δεσποτικὰ ῥήματα, καὶ πρὸς αὐτὰς τὰς ἐκείνων φωνάς; εἶτα τολμήσουσιν οὕτως ἔχοντες ἐγκαλεῖν ἡμῖν καὶ περιεργάζεσθαι τὰ ἡμέτερα καὶ ἑρμηνεύειν, οὕτως ἀκόλουθα τοῖς ἁγίοις ὄντα; ἀλλ᾽ ὁ Χρυσόστομος φησὶ τὸν δεσποτικὸν λόγον ἅπαξ ῥηθέντα, τὴν θυσίαν ἀπηρτισμένην ἐργάζεσθαι· ἅπαξ ῥηθέντα φησίν, οὐ νῦν ὑπὸ τοῦ ἱερέως λεγόμενον, ἀλλ᾽ ἅπαξ ὑπὸ τοῦ σωτῆρος ῥηθέντα, τὴν τελεστικὴν ἀεὶ δύναμιν ἐνιέναι τοῖς προκειμένοις. οὐκ ἤδη καὶ ἐνεργείᾳ τελεῖν αὐτά· τοῦτο γὰρ ἡ τοῦ ἁγίου πνεύματος ἐπιφοίτησις

ἐργάζεται διὰ τῆς τοῦ ἱερέως εὐχῆς. καὶ δῆλον ἐξ ὧν αὐτὸς ὁ χρυσοῦς τὴν γλῶτταν, ὡς πρότερον ἐξεθέμεθα· μετὰ τὸ εἰπεῖν τὰ δεσποτικὰ ῥήματα, Κατάπεμψον, φησί, τὸ πνεῦμά σου τὸ ἅγιον, καὶ ποίησον, τὸν μὲν ἄρτον τοῦτον, τίμιον σῶμα τοῦ χριστοῦ σου· τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ, τίμιον αἷμα τοῦ χριστοῦ σου, μεταβαλὼν τῷ πνεύματί σου τῷ ἁγίῳ. Ταῦτα εἰ μὴ πείθουσι τοὺς φιλονείκως ἔχοντας, ἐλεεῖσθαι ἂν εἶεν δίκαιοι τῆς διπλῆς ἀγνοίας, καὶ τῆς εἰς βάθος πωρώσεως.

ΤΟΥ̂ ἘΝ ἉΓΊΟΙΣ ΠΑΤΡῸΣ ΗΜΩΝ ΓΕΡΜΑΝΟΥ ΑΡΧΙΕΠΙσκόπου Κωνσταντινουπόλεως ἱστορία ἐκκλησιαστικὴ καὶ μυστικὴ θεωρία.

ΕΚΚΛΗΣΙΑ ἐστὶ ναὸς θεοῦ, τέμενος ἅγιον, οἶκος προσευχῆς, σύναξις λαοῦ, σῶμα χριστοῦ, ὄνομα αὐτοῦ, νύμφη χριστοῦ, ἐκκαλουμένη πρὸς μετάνοιαν καὶ πρὸς αὐτὴν τοὺς λαοὺς τῷ ὕδατι τοῦ ἁγίου βαπτίσματος αὐτοῦ καθαρισθεῖσα, καὶ τῷ αἵματι αὐτοῦ τῷ τιμίῳ ἐρραντισμένη, καὶ νυμφικῶς ἐστολισμένη, καὶ τῷ τοῦ ἁγίου πνεύματος μύρῳ σφραγιζομένη, κατὰ τὸ προφητικὸν λόγον, Μύρον ἐκκενωθὲν ὄνομά σοι, καὶ εἰς ὀσμὴν μύρου σου δραμοῦμεν, ὅτι ὡς μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώγωνα τὸν πώγωνα τὸν Ἀαρὼν, τὸ καταβαῖνον ἐπὶ τὴν ὤαν τοῦ ἐνδύματος αὐτοῦ. Ἄλλως. Ἐκκλησία ἐστὶν ἐπίγειος οὐρανὸς, ἐν ᾗ ὁ ἐπουράνιος θεὸς ἐνοικεῖ καὶ ἐμπεριπατεῖ, ἀντιτυποῦσα τὴν σταύρωσιν καὶ τὴν ταφὴν καὶ τὴν ἀνάστασιν χριστοῦ, δεδοξασμένη ὑπὲρ τὴν σκηνὴν τοῦ μαρτυρίου τοῦ Μωϋσέως, ἐν πατριάρχαις προτυπωθεῖσα, ἐν ἀποστόλοις θεμελιωθεῖσα, ἐν ᾗ τὸ ἱλαστήριον, καὶ τὰ ἅγια τῶν ἁγίων, ἐν προφήταις προκηρυχθεῖσα, ἐν ἱεράρχαις κατακοσμηθεῖσα, καὶ ἐν μάρτυσι τελειωθεῖσα, καὶ ἐν τοῖς ἁγίοις αὐτῶν λειψάνοις ἐνθρονιασθεῖσα. Ἄλλως. Ἐκκλησία ἐστὶν οἶκος θεϊκὸς, ἔνθα ἡ μυστικὴ ζωοθυσία γέγονε, καὶ τὰ ἔνδον τοῦ ἱερατείου, καὶ τὸ ἅγιον σπήλαιον· ἔνθα ὁ τάφος καὶ ἡ τράπεζα ἡ ψυχοτρόφος καὶ ζωοποιός· καὶ οἱ ἐν αὐτῇ μαργαρεῖται, τὰ θεῖα δόγματα τῆς διδασκαλίας τοῦ κυρίου πρὸς τοὺς μαθητὰς αὐτοῦ.

Ὁ δὲ σημαντὴρ, κατὰ τὸν τύπον τῶν ἥλων, ἐν οἷς προσηλώθησαν τὰς χεῖρας καὶ τοὺς πόδας τοῦ κυρίου, καὶ ἐδόνησεν εἰς τὰ πέρατα τῆς οἰκουμένης. Ἄλλως. Τὸ σημαντήριον μιμεῖται τὰς τῶν ἀγγέλων σάλπιγγας, καὶ διεγείρει τοὺς ἀγωνιστὰς πρὸς πόλεμον τῶν ἀοράτων ἐχθρῶν.

Τὸ βάπτισμά ἐστι, καθὼς ὁ θεὸς διετάξατο τῷ Μωϋσῇ λέγων, Καταβὰς διαμάρτυρε τῷ λαῷ τούτῳ, καὶ ἅγνισον αὐτοὺς, καὶ πλυνάτωσαν τὰ ἱμάτια αὐτῶν, καὶ ἔστωσαν ἕτοιμοι τοῦ ἀναβῆναι εἰς τὸ ὄρος πρός με· καὶ πάλιν διὰ Ἡσαΐου τοῦ προφήτου λέγει κύριος ὁ θεὸς, Λούσασθε, καθαροὶ γίνεσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν· καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡσεὶ χιόνα λευκανῶ· καὶ πάλιν αὐτὸς ὁ κύριος λέγει, Ἐὰν

μὴ τις γεννηθῇ δι' ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ· καὶ τοῖς αὐτοῦ ἀποστόλοις παρήγγελλε λέγων, Πορευθέντες εἰς τὸν κόσμον ἅπαντα, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. βεβαπτίσμεθα δὲ κατὰ τὸν θάνατον αὐτοῦ τοῦ χριστοῦ, καὶ τὴν ἀνάστασιν αὐτοῦ· διὰ γὰρ τῆς ἐν τῷ ὕδατι καταδύσεώς τε καὶ ἀναδύσεως, τριπλῆς τε ἐπικλύσεως, τὴν τριήμερον ταφὴν καὶ τὴν ἀνάστασιν αὐτοῦ τοῦ χριστοῦ ἐξεικονίζομεν καὶ ὁμολογοῦμεν· ἔτι δὲ καὶ ὅτι αὐτὸς ἐβαπτίσθη ἐν τῷ Ἰορδάνῃ ὑπὸ Ἰωάννου.

Τὸ χρίεσθαι ἐλαίῳ τοὺς βαπτιζομένους, ἐστὶ κατὰ τὸ ἔλαιον ᾧ ἐχρίοντο οἱ βασιλεῖς καὶ ἱερεῖς καὶ οἱ προφῆται, καθὼς καὶ ὁ χριστὸς ἐχρίσθη, ὡς βασιλέας καὶ ἱερέας τῷ χρίσματι τῆς ταρχώσεως. ἔστι δὲ καὶ τὸ μὴ δύνασθαι τὸν διάβολον κρατεῖν ἡμῶν τῷ κράτει τῆς ἁμαρτίας τοῦ θανάτου, ὅ ἐστιν, ὁ διὰ παραβάσει τοῦ Ἀδὰμ ἐπελθὼν ἡμῖν θάνατος.

Τὸ ὕδωρ ἐστὶ μυστικῶς ἐμφαῖνον ἡμῖν τὸ μυστικὸν λουτρὸν τοῦ ὕδατος καὶ τοῦ πυρὸς τοῦ ἁγίου πνεύματος, εἰς κάθαρσιν τοῦ ῥύπου τῆς ἁμαρτίας ἡμῶν, καὶ ἀναζήτησιν τῆς παλιγγενεσίας, καὶ ζωῆς αἰωνίου ἀναγέννησιν· δι' οὗ βαπτίσματος τὴν υἱοθεσίαν δεξάμενοι, ἀπηλλαγμένοι τῆς δουλείας, καὶ τῆς καταδυναστείας τοῦ διαβόλου, καὶ ἀπολαμβάνομεν τὴν ἐλευθερίαν τῆς χάριτος τοῦ υἱοῦ τοῦ θεοῦ, ἐν ᾧ ἁγιάσας καὶ καθαρίσας ἡμᾶς ὕδατι καὶ πνεύματι, προσήγαγε τῷ θεῷ καὶ πατρὶ λέγων, Πάτερ δίκαιε, ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκας, ἁγίασον αὐτοὺς ἐν τῷ ὀνόματί σου, οὓς δέδωκάς μοι, ἵνα ὦσι καὶ αὐτοὶ ἡγιασμένοι, καὶ γινώσκωσί σε τὸν μόνον ἀληθινὸν θεόν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν χριστόν, τοῦ εἶναι αὐτοὺς κληρονόμους τῆς βασιλείας μου. περὶ ὧν φησὶν ὁ πατήρ· Ὅτι ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτοῖς εἰς θεόν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαὸν ἡγιασμένον, εἰς βασίλειον ἱεράτευμα. τὸ δὲ ἅγιον πνεῦμα βεβαιοῖ τὰς ἐπαγγελίας, ὡς μάρτυς πιστὸς καὶ ἀπαράγραφος, πληροφορῶν ἡμᾶς. ἴδε ἐπιγραφὴν ἀληθῆ· καὶ γὰρ ὑπογράφει τὴν ἁγίαν τριάδα λιβέλλου δίκην τὸ πνεῦμα τὸ ἅγιον, ὡς γλῶσσα τοῦ θεοῦ καὶ πατρός, καὶ κάλαμος γραμματέως ὀξυγράφου. διαχαράττων οὕτω ἐν τῇ σημειώσει τοῦ χριστοῦ, οὐ διὰ μέλανος καὶ χάρτου, ἀλλὰ διὰ μύρου τῆς χρίσεως, καὶ ὡς ἐν τόμῳ καινῷ ταῖς πλαξὶ τῶν καρδιῶν τῶν πιστῶν τὸν σταυρὸν τοῦ χριστοῦ ἐγχαράττων, καθὼς φησὶν ὁ προφήτης, Καὶ ἔγραψα τὸν νόμον μου, φησὶν ὁ θεός, ἐν ταῖς καρδίαις αὐτῶν, καὶ ἐνσημειώσομαι αὐτοὺς ἐπὶ τὸ μέτωπον αὐτῶν, τοῦ σημειωθῆναι αὐτοῖς τὸ φῶς τοῦ προσώπου μου, καὶ εἶναι αὐτοὺς ὀνομαστοὺς ἐν πάσῃ τῇ γῇ, δεικνύων ἡμᾶς καὶ κληρονόμους τῆς αὐτοῦ βασιλείας, καὶ υἱοὺς γνησίους καὶ συγκληρονόμους αὐτοῦ, ἐάνπερ καὶ ἀγωνισώμεθα φυλάξαι τὸ ἅγιον βάπτισμα σῶον, καὶ τὴν σφραγίδα σώαν. ἡ κόγχη ἐστί, κατὰ τὸ ἐν Βηθλεὲμ σπήλαιον, ὅπου ἐγεννήθη ὁ χριστός·

καὶ

καὶ κατὰ τὸ σπήλαιον ὅπου ἐτάφη, καθὼς φησὶν ὁ εὐαγγελιστὴς Μάρκος, ὅτι ἦν σπήλαιον λελατομημένον ἐκ πέτρας, κἀκεῖ ἔθηκαν τὸν Ἰησοῦν.

ἡ δὲ ἐκκλησία ἐστὶν ἔνθα ἡ μυστικὴ ζωοθυσία γίνεται· καὶ τὰ ἔνδον τοῦ σπηλαίου, ἔνθα ὁ τάφος κεῖται ἀντ' αὐτοῦ, ἔνδον τοῦ ἱερατείου.

ἡ δὲ κόγχη τοῦ θυσιαστηρίου, ἡ μετάθεσίς ἐστι τοῦ σταυροῦ· οἱ πύργοι δὲ, τὰ σημεῖα. διὰ τοῦτο δὴ ἀμφότερα λογοθετοῦνται εἰς πρόσωπον τῶν ἱερουργούντων. ἡ ἁγία τράπεζά ἐστιν, ἀντὶ τοῦ τόπου τῆς ταφῆς, ἐν ᾧ ἐτέθη ὁ Χριστὸς, ἐν ᾗ πρόκειται ὁ ἀληθινὸς καὶ οὐράνιος ἄρτος, ἡ μυστικὴ καὶ ἀναίμακτος θυσία, ζωοθυτούμενος τὴν σάρκα αὐτοῦ καὶ τὸ αἷμα, εἰς βρῶσιν καὶ πόσιν ζωῆς αἰωνίου προέθηκε τοῖς πιστοῖς. ἔστι δὲ καὶ θρόνος θεοῦ ἡ αὐτή, ἐν ᾧ ὁ ἐπουράνιος θεὸς, ὁ ἐπὶ τῶν χερουβὶμ ἐποχούμενος, σωματωθεὶς ἐπανεπαύσατο· καθ' ἣν τράπεζαν καὶ ἐν τῷ μυστικῷ αὐτοῦ δείπνῳ, μέσον τῶν ἀποστόλων αὐτοῦ καθίσας, καὶ λαβὼν ἄρτον καὶ οἶνον, εἶπε τοῖς αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, λάβετε, φάγετε καὶ πίετε ἐξ αὐτοῦ· τοῦτο γάρ ἐστι τὸ σῶμά μου καὶ τὸ αἷμά μου. προετυπώθη δὲ ἐν τῇ νομικῇ τραπέζῃ, ἔνθα ἦν τὸ μάννα, ὅ ἐστι Χριστὸς, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς. [ἡ ἁγία τράπεζά ἐστιν, ἀντὶ τῆς τραπέζης τοῦ Χριστοῦ σὺν τοῖς μύσταις· καὶ οἱ ἐν αὐτῇ μαργαρῖται, τὰ θεῖα δόγματα τῆς διδασκαλίας τοῦ Χριστοῦ πρὸς τοὺς μαθητάς.]

τὸ κιβώριόν ἐστιν ἔνθα ἐστὶν ἡ σταύρωσις, ἀντὶ τοῦ τόπου ὅπου ἐσταυρώθη ὁ Χριστός· ἐγγὺς γὰρ, ὁ τόπος καὶ ἐνταῦθα, θεὸς, ὅπου ἐτάφη· ἀλλὰ διὰ τὸ ἐν συντομίᾳ ἐμφέρεσθαι τὴν σταύρωσιν, καὶ τὴν ταφὴν, καὶ τὴν ἀνάστασιν Χριστοῦ, ἐν τῇ ἐκκλησίᾳ τέτακται. ἔστι δὲ καὶ κατὰ τὴν κιβωτὸν τῆς διαθήκης κυρίου ἐν ᾗ λέγεται ἅγια ἁγίων καὶ ἁγίασμα αὐτοῦ· ἐν ᾗ προσέταξεν ὁ θεὸς γενέσθαι δύο χερουβὶμ ἑκατέρωθεν τορνευτά· τὸ γὰρ κιβ, ἐστὶ κιβωτὸς, τὸ δὲ ὤριον, φωτισμὸς κυρίου, ἢ φῶς θεοῦ. θυσιαστήριόν ἐστιν ἱλαστήριον, ἐν ᾧ προσεφέρετο περὶ τῆς ἁμαρτίας· κατὰ τὸ ἅγιον μνῆμα τοῦ Χριστοῦ, ἐν ᾧ θυσιαστηρίῳ καὶ θυσίαν ἑαυτὸν ὁ Χριστὸς προσήγαγε τῷ θεῷ καὶ πατρὶ, διὰ τῆς προσφορᾶς τοῦ σώματος αὐτοῦ, ὡς ἀμνὸς θυόμενος, καὶ ὡς ἀρχιερεὺς καὶ υἱὸς ἀνθρώπου, προσφέρων καὶ προσφερόμενος, εἰς μυστικὴν καὶ ἀναίμακτον θυσίαν, καὶ λογικὴν λατρείαν τοῖς πιστοῖς ἱεροθυτούμενος, δι' ἧς μέτοχοι γεγόναμεν τῆς αἰωνίου ζωῆς καὶ ἀθανάτου, ὅνπερ ἀμνὸν προετύπωσεν ἐν Αἰγύπτῳ Μωσῆς πρὸς ἑσπέραν, καὶ τῷ αἵματι αὐτοῦ τὸν ὀλοθρευτὴν ἄγγελον ἀπέστρεψε, τοῦ μὴ θανατῶσαι τὸν λαόν· τὸ γὰρ πρὸς ἑσπέραν σημαίνει, ὅτι καὶ πρὸς ἑσπέραν ἐσφαγιάσθη ὁ ἀληθινὸς ἀμνὸς, ὁ τοῦ κόσμου αἴρων τὴν ἁμαρτίαν τῷ σταυρῷ αὐτοῦ Χριστός· καὶ γὰρ τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστός. θυσιαστήριόν ἐστι καὶ λέγεται ἡ φάτνη καὶ ὁ τάφος τοῦ κυρίου. θυσιαστήριόν ἐστι καὶ λέγεται κατὰ τὸ ἐπουράνιον καὶ νοερὸν θυσιαστήριον, ἐν ᾧπερ ἀντιτυποῦσι τὰς νοερὰς καὶ λειτουρ-

χικαῖς ἱεραρχίας τῶν ἀΰλων καὶ ἄνω δυνάμεων, καὶ οἱ ἐπίγειοι καὶ ἔνυλοι ἱερεῖς παρεστῶτες καὶ λατρεύοντες τῷ κυρίῳ διὰ παντός· ὥστε καὶ τούτους δεῖ εἶναι ὡς πῦρ φλέγον· κατὰ γὰρ τὴν τῶν ἐπουρανίων ἀκολουθίαν, καὶ τὴν τῶν ἐπιγείων διάταξιν ὁ υἱὸς τοῦ θεοῦ καὶ κριτὴς τῶν ἁπάντων ἐνομοθέτησε.

Βῆμά ἐστιν ὑποβάθρας τόπος καὶ θρόνος, ἐν ᾧ περ ὁ παμβασιλεὺς χριστὸς προκάθηται μετὰ τῶν αὐτοῦ ἀποστόλων, ὡς λέγει πρὸς αὐτούς, ὅτι καθίσεσθε ἐπὶ δώδεκα θρόνων κρίνοντες τὰς ιβ΄. φυλὰς τοῦ Ἰσραήλ. θρόνοι δὲ λέγονται τὸ κήρυγμα τῆς πίστεως, ἐν ᾧ κηρύγματι θαῤῥοῦντες, ἐδίδαξαν, καὶ δι' αὐτοῦ λαμβάνουσι τὴν ἀντιμισθίαν τοῦ κηρύγματος, τὴν ἐπουράνιον βασιλείαν, ἐπεὶ καθέδρα ἐκεῖ οὐκ ἔστιν. ὑποδεικνύει δὲ καὶ τὴν δευτέραν αὐτοῦ παρουσίαν, καθ' ἣν ἐλθὼν ἐν δόξῃ κρῖναι ζῶντας καὶ νεκρούς, ἀποδοὺς ἑκάστῳ κατὰ τὸ ἔργον αὐτοῦ, καὶ πάντα κόσμον κρῖναι, ὡς λέγει ὁ προφήτης, Ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν, θρόνοι ἐπὶ οἶκον Δαβίδ.

Κοσμήτης ἐστὶ κατὰ τὸ νομικὸν καὶ ἅγιον κόσμιον, ἐμφαῖνον τοῦ σταυρωθέντος χριστοῦ τὸ ἐκσφράγισμα, διὰ τοῦ σταυροῦ κοσμούμενον.

Κιόνια ἤτοι τὰ στῆλα τὰ διαχωρίζοντα τὸ βῆμα ἀπὸ τοῦ λοιποῦ ναοῦ, εἰσὶν ἃ δηλοῦσι τὸν μὲν ἔξωθεν τοῦ βήματος ναόν, τὴν εἴσοδον καὶ παράστασιν τοῦ λαοῦ τοῦ εἰσερχομένου εἰς προσευχήν· τὸ δὲ ἔσωθεν ἤτοι τὸ βῆμα, δηλοῖ τὰ ἅγια τῶν ἁγίων, εἰς ὃ καὶ μόνοι οἱ ἱερεῖς καὶ οἱ μετ' αὐτῶν εἰσίασι.

Κάγκελλά εἰσι, τὸν προσευχῆς τόπον δηλοῦντα, ἐν οἷς σημαίνει, τὴν μὲν ἔξωθεν τοῦ λαοῦ εἴσοδον, τὴν δὲ ἔσωθεν τὰ ἅγια τῶν ἁγίων ὑπάρχουσαν καὶ μόνοις τοῖς ἱερεῦσιν οὖσαν ἐπίβατον. ἔστι δὲ καὶ ἀληθῶς εἰς τὸ ἅγιον μνῆμα κάγκελλα χαλκᾶ, διὰ τὸ μηδένα εἰσιέναι ἐν αὐτῷ ἁπλῶς καὶ ὡς ἔτυχεν.

Ὁ ἄμβων ἐστὶν ἐμφαίνων τὸ σχῆμα τοῦ λίθου τοῦ ἁγίου μνήματος, ὃν ὁ ἄγγελος ἀποκυλίσας ἐκ τῆς θύρας τοῦ μνήματος, ἀνεβόα τὴν ἀνάστασιν τοῦ κυρίου ταῖς μυροφόροις. ἔστι δὲ καὶ κατὰ τὸν προφήτην τὸν λέγοντα, Ἐπ' ὄρος πεδινοῦ ἄρατε σημεῖον· ἀνάβηθι ὁ εὐαγγελιζόμενος, καὶ ὕψωσον φωνήν· ὄρος γάρ ἐστιν εἰς τόπον πεδινὸν καὶ ὁμαλὸν κείμενον.

Τὸ κατὰ ἀνατολὰς εὔχεσθαι, παραδεδομένον ἐστίν, ὡς καὶ τὰ λοιπά, ἐκ τῶν ἁγίων ἀποστόλων, καὶ ἔστιν οὕτως, διὰ τὸ τὸν νοητὸν ἥλιον τῆς δικαιοσύνης χριστὸν τὸν θεὸν ἡμῶν ἐπὶ γῆς φανῆναι ἐν τοῖς μέρεσι τῆς ἀνατολῆς τοῦ αἰσθητοῦ ἡλίου, κατὰ τὸν προφήτην τὸν λέγοντα, Ἀνατολὴ ὄνομα αὐτῷ· καὶ πάλιν, Προσκυνήσατε τῷ κυρίῳ τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολάς, καὶ προσκυνήσωμεν εἰς τὸν τόπον οὗ ἔστησαν οἱ πόδες αὐτοῦ· καὶ πάλιν, Στήσονται οἱ πόδες κυρίου ἐπὶ τὸ ὄρος κυρίου τῶν ἐλαιῶν κατὰ ἀνατολάς· ταῦτά φασιν οἱ προφῆται, καὶ διὰ τὸ ἀποκαραδοκεῖν ἡμᾶς πάλιν τὸν ἐν Ἐδὲμ παράδεισον, κατὰ ἀνατολὰς ἀπολαμβάνειν, καὶ ὡς ἐκδεχομένους τὴν ἀνατολὴν τῆς φωτοφανείας τῆς δευτέρας τοῦ κυρίου παρουσίας καὶ παλιγγενεσίας.

Τὸ

Τὸ μὴ κλίνειν γόνυ τῇ ἀναστασίμῳ ἡμέρᾳ τῆς ἁγίας κυριακῆς, σημαίνει τὴν τῆς καταπτώσεως ἡμῶν ἀνόρθωσιν γενομένην, διὰ τῆς τριημέρου τοῦ χριστοῦ ἀναστάσεως. Τὸ δὲ μέχρι τῆς πεντηκοστῆς μὴ κλίνειν γόνυ, ἔστι τὰς ἑπτὰ ἡμέρας μετὰ τὸ ἅγιον πάσχα ἑπταπλουμένας κατὰ τὴν τῇ ἀναστασίμῳ τὸ ἑπτάκις ἑπτά, τεσσαρακονταεννέα, καὶ ἡ κυριακὴ πεντηκοστή.

Τὸ δὲ ξύρισμα τῆς κεφαλῆς τοῦ ἱερέως, καὶ τὸ γυροειδὲς αὐτοῦ τμῆμα τὸ μέσον τῶν τριχῶν, ἀντὶ τοῦ ἀκανθίνου στεφάνου, ὅνπερ ὁ χριστὸς ἐφόρεσεν.

Ὁ ἐν τῇ κεφαλῇ τοῦ ἱερέως περικείμενος διπλοῦς στέφανος ἐκ τῆς τῶν τριχῶν σημειώσεως, εἰκονίζει τὴν τοῦ ἀποστόλου Πέτρου τιμίαν κάραν, ἣν ἐν τῷ τοῦ κυρίου καὶ διδασκάλου κηρύγματι ἀποσταλεὶς, καὶ καρεὶς ὑπὸ τῶν ἀπειθούντων τῷ λόγῳ, ὡς ἐμπαιζόμενος ὑπ' αὐτῶν, ταύτην ὁ διδάσκαλος χριστὸς εὐλόγησε, καὶ ἐποίησε τὴν ἀτιμίαν τιμήν, καὶ τὴν χλεύην εἰς δόξαν. καὶ ἔθηκεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον, οὐκ ἐκ λίθων τιμίων, ἀλλὰ τῷ λίθῳ καὶ τῇ πέτρᾳ τῆς πίστεως αὐτοῦ ἐκλάμπουσαν, ὑπὲρ χρυσίον καὶ τοπάζιον καὶ λίθους τιμίους· κορυφὴ γὰρ κεκαλλωπισμένη, καὶ στέφανος, τῶν δωδεκάλιθον, οἱ ἀπόστολοί εἰσι· πέτρα δὲ ὁ πανάγιώτατος ἀπόστολος ὑπάρχει ἀρχιεράρχης τοῦ χριστοῦ.

Ἡ στολὴ τοῦ ἱερέως ὑπάρχει κατὰ τὸν ποδήρη Ἀαρών, τουτέστιν ἱμάτιον, ὅ ἐστιν ἱερατικὸν ἔνδυμα τὸ μέχρι τῶν ποδῶν τὸ τιμιώτατον, ἔστι δὲ πυροειδὲς κατὰ τὸν προφήτην τὸν λέγοντα, Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ φλέγον· καὶ πάλιν, Τίς οὗτος ὁ παραγινόμενος ἐξ Ἐδώμ· ἐδὼμ γὰρ ἑρμηνεύεται γήϊνος, ἢ ἐκλεκτὸς, ἢ κόκκινος. εἶτα ἐπάγει, Ἐρύθημα ἱματίων αὐτοῦ, ἐξ ἀμπέλου Βοσόρ. διὰ τί σου ἐρυθρὰ τὰ ἱμάτια, καὶ τὰ ἐνδύματά σου· ὡς ἀπὸ πατητοῦ ληνοῦ, ἐμφαίνοντος τὴν βαφεῖσαν τοῦ χριστοῦ στολὴν τῆς σαρκὸς ἐν αἵμασιν, ἐν τῷ ἀχράντῳ αὐτοῦ σταυρῷ. πάλιν δὲ ὅτι τὴν κοκκίνην χλαμύδα ἐφόρεσεν ἐν τῷ πάθει ὁ χριστὸς, ἐμφαίνουσιν οἱ ἀρχιερεῖς ποίου ἀρχιερέως εἰσὶν ὑπασπισταί.

Τὸ δὲ ἀπεζωσμένους τοὺς ἱερεῖς περιπατεῖν φελωνίοις, δείκνυσιν ὅτι καὶ ὁ χριστὸς ἐν τῷ σταυρῷ ἀπερχόμενος οὕτως ἦν βαστάζων τὸν σταυρὸν αὐτοῦ.

Ἐν ταῖς ἄνω λαμπρότησι τῶν νοερῶν τοῦ οὐρανίων λειτουργῶν, προφητῶν καὶ ἱεραρχῶν, εἰσὶ πρεσβύτεροι εἴκοσι τέσσαρες, καὶ διάκονοι ἑπτά· οἱ μὲν πρεσβύτεροι κατὰ μίμησιν τῶν σεραφικῶν δυνάμεών εἰσι, ταῖς μὲν στολαῖς, δίκην πτερύγων κατακεκαλυμμένοι· ταῖς δὲ δυσὶ πτέρυξι τῶν χειλέων τὸν ὕμνον βοῶντες, καὶ κατέχοντες τὸν θεῖον καὶ νοητὸν ἄνθρακα χριστὸν ἐν τῷ θυσιαστηρίῳ, τῇ λαβίδι τῆς χειρὸς φανερῶς φέροντες.

Οἱ δὲ διάκονοι εἰς τύπον τῶν ἀγγελικῶν δυνάμεων ταῖς λεπταῖς τῶν λεπτῶν ὡραρίων πτέρυξιν, ὡς λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα περιτρέχουσι. περιττὸν μὲν τὸ στιχάριον. λευκὸν ὄν, τῆς θεότητος τὴν ἄστραπὴν

ἐμφαίνει, καὶ τοῦ ἱερέως τὴν λαμπρὰν πολιτείαν. Τὰ λωρεία τοῦ στιχαρίου εἰσὶ τὰ ἐν τῇ χειρί, ἐμφαίνοντα τὸν δεσμὸν τοῦ Χριστοῦ· δήσαντες γὰρ αὐτὸν ἀπήγαγον πρὸς Καϊάφαν τὸν ἀρχιερέα καὶ τὸν Πιλάτον.

Τὰ λωρεία τὰ εἰς τὰ πλάγια, εἰσὶ τὸ αἷμα τὸ ῥεῦσαν ἐκ τῆς πλευρᾶς τοῦ Χριστοῦ ἐν τῷ σταυρῷ. Τὸ περιτραχήλιον ἐστὶ τὸ φακεώλιον μεθ' οὗ ἐπεφέρετο ὑπὸ τοῦ ἀρχιερέως δεδεμένος, καὶ συρόμενος ἐπὶ τὸ πρόσωθεν ἐπὶ τῷ τραχήλῳ ὁ Χριστός, ἐν τῷ πάθει αὐτοῦ ἀπερχόμενος.

Τὸ δὲ τοῦ ἐπιτραχηλίου δεξιὸν μέρος, πέφυκεν ὁ κάλαμος ὃν ἐδίδοσαν ἐμπαίζοντες τῇ δεξιᾷ τοῦ Χριστοῦ. Τὸ δὲ τοῦ ἐξ εὐωνύμου μέρους, ἡ τοῦ σταυροῦ βασταγὴ ἐπὶ τῶν ὤμων αὐτοῦ. Ἡ δὲ ζώνη, ἣν περιζώννυται, πέφηνεν ἡ εὐπρέπεια, ἣν ὁ Χριστὸς βασιλεύσας, εὐπρεπῆ περιεζώσατο δύναμιν τῆς θεότητος. Τὸ δὲ φελώνιον, ἐμφαίνει τὴν ἀπὸ κοκκίνου πορφύραν, ἣν περ τῷ Ἰησοῦ ἐμπαίζοντες, οἱ ἀσεβεῖς ἐφόρεσαν· ἔστι δὲ καὶ ἡ στολὴ τοῦ βαπτίσματος. Τὸ ὠμοφόριόν ἐστι τοῦ ἀρχιερέως, κατὰ τὴν στολὴν τοῦ Ἀαρών, ἣν περ ἐφόρουν οἱ ἐν νόμῳ ἀρχιερεῖς, σουδαρίοις μακροῖς τὸν εὐώνυμον ὦμον περιτιθέντες, κατὰ τὸν ζυγὸν τῶν ἐντολῶν τοῦ Χριστοῦ.

Τὸ δὲ ὠμοφόριον ὃ περιβέβληται ὁ ἐπίσκοπος, δηλοῖ τὴν τοῦ προβάτου δορὰν, ὅπερ πλανώμενον εὑρὼν ὁ κύριος, ἐπὶ τῶν ὤμων αὐτοῦ ἀνέλαβε, καὶ σὺν τοῖς μὴ πεπλανημένοις ἠρίθμησεν. ἔχει δὲ καὶ σταυρούς, διὰ τὸ καὶ τὸν Χριστὸν ἐπὶ τοῦ ὤμου βαστάσαι τὸν σταυρὸν αὐτοῦ. ἔτι δὲ καὶ οἱ θέλοντες κατὰ Χριστὸν ζῆν ἐπὶ τῶν ὤμων αἴρουσι τὸν σταυρὸν αὐτοῦ, ὅ ἐστιν ἡ κακοπάθεια· σύμβολον γὰρ κακοπαθείας ὁ σταυρός. Τὸ μοναχικὸν σχῆμά ἐστι κατὰ μίμησιν τοῦ ἐρημοπολίτου καὶ βαπτιστοῦ Ἰωάννου, ὅτι τὸ ἔνδυμα αὐτοῦ ἦν ἐκ τριχῶν καμήλου, καὶ ζώνη δερματίνη περὶ τὴν ὀσφὺν αὐτοῦ.

Τὸ δὲ κείρεσθαι τὴν κάραν ὁλοτελῶς, κατὰ μίμησιν τοῦ ἁγίου ἀποστόλου Ἰακώβου τοῦ ἀδελφοθέου, καὶ Παύλου τοῦ ἀποστόλου, καὶ τῶν λοιπῶν.

Τὰ δὲ ἀναβόλαια, εἰσὶ κατὰ τὰ ἀναβόλαια, ἅπερ ἐφόρουν ἱμάτια.

Τὰ δὲ κουκούλλια, κατὰ τὸν λέγοντα ἀπόστολον, ὅτι ἐσταύρωταί μοι ὁ κόσμος, κἀγὼ τῷ κόσμῳ. Τὸ δὲ μανδύον, ἐμφαῖνον διὰ τῆς ἀπολελυμένης ἁπλώσεως τὴν πτερωτικὴν τῆς τῶν ἀγγέλων μιμήσεως, καθότι ἀγγελικὸν σχῆμα λέγεται. Ἡ δὲ ἐσθὴς μεθ' ἧς λειτουργοῦσιν οἱ διάκονοι, δηλοῖ τὴν τοῦ Χριστοῦ ταπείνωσιν, ἣν ἐνεδείξατο ἐν τῷ νιπτῆρι. Τὸ δὲ ἐγχείριον τὸ ἐπὶ τῆς ζώνης, ἐστὶ τὸ ἀπομάξαν τὰς χεῖρας αὐτοῦ λέντιον, καὶ πέφυκε τὸ ἐγχείριον ἔχειν ἐπὶ τῆς ζώνης, ἀντίτυπον τοῦ ἀπομάξαντος τὰς χεῖρας, ἐκ τοῦ ἀθῷός εἰμι ἐπιφωνήσαντος. Ἡ προσκομιδὴ ἡ γινομένη ἐν τῷ σκευοφυλακίῳ, ἐμφαίνει τὸν κρανίου τόπον, ἐν ᾧ ἐσταυρώθη ὁ Χριστός. ἐν ᾧ λόγος, κεῖσθαι τὸ κρανίον τοῦ προπάτορος Ἀδάμ. δείκνυσι δέ, ὅτι ἐγγὺς ἦν τὸ μνημεῖον ὅπου ἐσταυρώθη· προετυπώθη δὲ ὁ τοῦ κρανίου τόπος ἐπάνω ἐν τῷ Ἀβραάμ,

ὅτε

ὅτε ἐφ' ἑνὶ τῶν ὀρέων, τοῦ θεοῦ κελεύσαντος, τὸ θυσιαστήριον ἐκ λίθων ἐποίησε, καὶ ἐπέθηκε ξύλα, καὶ ἔθηκε τὸν υἱὸν αὐτοῦ, καὶ ἀνήνεγκε κριὸν ἀντ' αὐτοῦ εἰς ὁλοκάρπωσιν· οὕτως ὁ θεὸς καὶ πατὴρ, ὁ ἄναρχος καὶ παλαιὸς τῶν ἡμερῶν, τὸν ἄναρχον υἱὸν αὐτοῦ ἐπ' ἐσχάτων τῶν χρόνων, σαρκωθέντα ἐκ τῆς παρθένου καὶ θεοτόκου, ἐκ τῆς ὀσφύος Ἀβραὰμ κατ' ἐπαγγελίαν τοῦ ὅρκου οὗ ἔθηκε πρὸς αὐτὸν, ὥστε καὶ ὑπὲρ γένους ἀνθρώπου, οὐκ ἐφείσατο τοῦ υἱοῦ αὐτοῦ τοῦ ἀγαπητοῦ καὶ μονογενοῦς, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν· καὶ ἔπαθε μὲν ὡς ἄνθρωπος ἐν τῇ σαρκὶ, ἀλλ' ἔμεινεν ἀπαθὴς τῇ θεότητι· καὶ γὰρ ὁ χριστὸς ἀπερχόμενος ἐν τῷ σταυρῷ αὐτοῦ, ἐβάσταζε τὸν σταυρὸν, καὶ ἀντὶ κριοῦ ἐτύθη τὸ σῶμα αὐτοῦ τὸ ἄμωμον, ὡς ἀμνὸς σφαττόμενος τῇ λόγχῃ τὴν πλευρὰν αὐτοῦ, καὶ ἀρχιερεὺς γενόμενος ὡς υἱὸς ἀνθρώπου, καὶ προσφέρων ἑαυτὸν, καὶ προσφερόμενος εἰς τὸ αἴρειν τὰς ἁμαρτίας πολλούς· καὶ τέθνηκε μὲν ὡς ἄνθρωπος, ἀνέστη δὲ ὡς θεὸς, δι' ἣν εἶχεν ὑπερκόσμιον δόξαν παρὰ τῷ θεῷ καὶ γεννήτορι. ἡ δὲ προσκομιδὴ τοῦ ἄρτου, πέφηνε τὸ σῶμα τοῦ κυρίου, τὸ παθὸν διὰ τὴν σωτηρίαν ἡμῶν τῶν πιστῶν.

ὁ ἄρτος τῆς προθέσεως ὁ ἀποκαθιερούμενος, ἐμφαίνει τὴν κάθαρσιν τοῦ κόσμου, καὶ τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χρηστότητος τοῦ θεοῦ, ὅτι ὁ υἱὸς τοῦ θεοῦ ἄνθρωπος γέγονε, καὶ ἑαυτὸν προέθηκε θυσίαν καὶ προσφορὰν, καὶ τὸ σῶμα αὐτοῦ ἀντίλυτρον ἐξίλασμα ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας· ἀναλαβὼν μὲν τὸ φύραμα ὅλον τῆς ἀνθρωπίνης φύσεως χωρὶς ἁμαρτίας· προσενεχθεὶς δὲ ὡς ἀπαρχὴ καὶ ἐξαίρετον ὁλοκάρπωμα, τῷ θεῷ καὶ πατρὶ ὑπὲρ τοῦ ἀνθρωπίνου γένους, ὡς λέγει, Ἐγώ εἰμι ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, καὶ ὁ τρώγων τοῦτον τὸν ἄρτον, ζήσεται εἰς τὸν αἰῶνα· περὶ οὗ φησὶ καὶ ὁ προφήτης Ἱερεμίας, Δεῦτε καὶ ἐμβάλλωμεν ξύλον εἰς τὸν ἄρτον αὐτοῦ, δηλονότι τὸ ξύλον τοῦ σταυροῦ, τὸ ἐν τῷ σώματι ἐμπαγέν.

[ἡ δὲ λόγχη, ἀντὶ τῆς κεντησάσης τὴν πλευρὰν τοῦ κυρίου.]

τὸ δὲ ἐν τῇ λόγχῃ ἀποκαθαίρεσθαι, σημαίνει τὸ, ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ τὰ ἑξῆς. ὁ δὲ δίσκος, ἐν ᾧ ἔστι τὸ σῶμα τοῦ κυρίου ὑπὸ τοῦ ἱερέως καὶ τοῦ διακόνου κατασκευάζεται, οἵτινες εἰσὶν Ἰωσὴφ καὶ Νικόδημος. ὁ δὲ οἶνος, πέφηνε τὸ αἷμα τὸ ἐκ τῆς πλευρᾶς τοῦ χριστοῦ ῥεῦσαν. ἔστι δὲ καὶ ὁ μυστικὸς οἶνος, ὃν ἔδωκε τοῖς μαθηταῖς ἐν τῷ δείπνῳ.

τὸ δὲ ὕδωρ πέφηνε τὸ ῥεῦσαν ἐκ τῆς πλευρᾶς αὐτοῦ τοῦ χριστοῦ, καὶ διὰ τὴν θερμότητα δηλοῖ τὴν ζέσιν τοῦ ἁγίου πνεύματος· τὴν δὲ λευκότητα, τὴν ἀκίβδηλον πίστιν. ὁ οἶνος ὁμοῦ καὶ τὸ ὕδωρ, εἰσὶ τὸ ἐξελθὸν ἐκ τῆς πλευρᾶς αὐτοῦ αἷμα καὶ ὕδωρ, καθὼς ὁ προφήτης λέγει, Ἄρτος αὐτῷ δοθήσεται φαγεῖν, καὶ ὕδωρ αὐτῷ ποτὸν πιστόν· ἀντὶ γὰρ τῆς λόγχης τῆς κεντησάσης τὸν χριστὸν ἐν τῷ σταυρῷ ὑπὸ Λογγίνου, ἐστὶν αὕτη ἡ λόγχη.

ὁ ἄρτος καὶ τὸ ποτήριον κυρίως καὶ ἀληθῶς, κατὰ μίμησιν τοῦ μυστικοῦ ἐκεί-

του δείπνου, ἐν ᾧ ὁ Χριστὸς ἔλαβεν ἄρτον καὶ οἶνον, καὶ εἶπε, Λάβετε, φάγετε καὶ πίετε ἐξ αὐτοῦ πάντες· τοῦτο γάρ ἐστι τὸ σῶμά μου καὶ τὸ αἷμα, δεικνὺς, ὅτι κοινωνοὺς ἡμᾶς ἐποίησε τοῦ θανάτου, καὶ τῆς ἀναστάσεως, καὶ τῆς δόξης αὐτοῦ.

ἡ δὲ προσφορὰ, ἡ καὶ ἄρτος καὶ εὐλογία καὶ ἀπαρχὴ λεγομένη, ἐξ ἧς τὸ κυριακὸν σῶμα διατέμνεται, εἰς τύπον τῆς ἀειπαρθένου καὶ θεοτόκου λαμβάνεται, ἥτις κατ' εὐδοκίαν τοῦ πατρὸς, καὶ θέλησιν τοῦ υἱοῦ αὐτοῦ καὶ λόγου, καὶ ἐπέλευσιν τοῦ θείου πνεύματος, τὸν ἕνα τῆς ἁγίας τριάδος, υἱὸν τοῦ θεοῦ καὶ λόγον, εἰσδεξαμένη, τέλειον θεὸν καὶ τέλειον ἄνθρωπον ἀπεκύησεν. ὥσπερ δὲ πάλιν ὁ ὑπερούσιος θεὸς, σάρκα ἐκ ταύτης προσλαβόμενος ἐν μιᾷ ὑποστάσει, τέλειος ἦν θεὸς καὶ ἄνθρωπος, ὅμοιος ἡμῖν χωρὶς ἁμαρτίας· οὕτω καὶ τὸ κυριακὸν σῶμα ὡς ἔκ τινος κοιλίας καὶ σαρκὸς τοῦ παρθενικοῦ σώματος, τοῦ ὅλου ἄρτου φημὶ τῆς εὐλογίας καὶ τῆς προσφορᾶς, παρὰ τοῦ διακόνου, ὡς ἡ μεγάλη ἐκκλησία παρέλαβε, διατέμνεται σιδήρῳ τινὶ, ὅπερ καὶ λόγχην λέγουσιν, εἰ καὶ μήπω ταύτης ἐστὶν ὁ καιρὸς, καὶ οὕτως ἰδιοϋποστάτως ἐκ μέσου ταύτης ἀφαιρεῖται.

ὁ μέντοι διάκονος ὁ τοῦτο ἐνεργῶν, ἑτοιμάσας σὺν αὐτῷ καὶ τὸ μέλλον ἐπιτελεῖσθαι δεσποτικὸν αἷμα, ἐν τῷ προσήκοντι τοῦ πάθους καιρῷ, διὰ τῆς τοῦ ζωοποιοῦ πνεύματος ἐπιφοιτήσεως, ἀφίησι ταῦτα ἐν τῇ προθέσει, τὴν εὐχὴν ἐπιλέγοντος τοῦ ἱερέως. αὐτὸς γὰρ ὁ τὸ θεῖον σῶμα διατέμνων διάκονος, ἀπὸ τῆς εὐλογίας τὸν ἄγγελον μιμεῖται, τὸν τῇ παρθένῳ τὸ χαῖρε προσφθεγξάμενον. εἰ δὲ καὶ ἱερεῖς τοῦτο τέμνουσιν, οὐ θαυμαστόν· πρὸς γὰρ τὰ ἔθη τῆς μεγάλης ἐκκλησίας ὁρᾶν χρή. οὕτω τοιγαροῦν ἀφίεται τὸ θεῖον σῶμα ἐν τῇ προθέσει, ὥσπερ ἐν Βηθλεέμ, ὅπου γεγέννηται ὁ Χριστὸς, οὗ αἱ ἔξοδοι ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος· ὁμοῦ δὲ καὶ ὡς ἐν τῇ Ναζαρέτ. πρὸς δὲ, καὶ τῆς ἐν Καπερναοὺμ διατριβῆς τὸν τύπον ἡ πρόθεσις ἐκπληροῖ. τούτου γὰρ ἕνεκεν ἐν προοιμίοις προέφημεν, ὅτι τὸ ἓν τῶν ἐν ναῷ τυπουμένων, ἐπεὶ δυσὶ καὶ τρισὶ τῶν τότε τελεῖται καὶ ἀναφέρεται, καὶ ἁπλῶς εἰπεῖν, τὸν τριακονταετῆ χρόνον τὸν πρὸ τοῦ βαπτίσματος καὶ τὰς διατριβὰς ἡ πρόθεσις ἐκπληροῖ. τὸ δὲ ποτήριόν ἐστιν ἀντὶ τοῦ σκεύους, ὃ ἐδέξατο τὸ ἐκχυθὲν αἷμα τῆς κεντηθείσης ἀχράντου πλευρᾶς, καὶ χειρῶν καὶ ποδῶν τοῦ Χριστοῦ τὸ ἀπομύρισμα. ὁ δὲ κρατὴρ, τὸ ῥύσιον ποτήριον, ὅπερ δέδωκε τοῖς μαθηταῖς αὐτοῦ ἐν τῷ δείπνῳ.

ποτήριον γὰρ πάλιν ἐστὶ κατὰ τὸν κρατῆρα, ὃν γράφει κυρίως· ἤγουν ἡ σοφία καὶ ὁ υἱὸς τοῦ θεοῦ, ἐκέρασε τὸ ἑαυτοῦ αἷμα, ἀντὶ τοῦ οἴνου ἐκείνου, καὶ προσέθηκεν ἐν τῇ ἁγίᾳ αὐτοῦ τραπέζῃ, λέγων τοῖς πᾶσι, Πίετε ἐξ αὐτοῦ πάντες, ἀντὶ τοῦ οἴνου τοῦ κεκερασμένου εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν τὴν αἰώνιον.

κρατῆρες ἑρμηνεύονται καὶ οἱ μαζοὶ τῆς θεοτόκου, ῥύσιον εὐφροσύνης ποτήριον, καὶ φυλακτήριον πάντας γλίους βεστίου.

Τὸ δὲ σκευοφυλάκιον ὅπου ἡ προσκομιδὴ ἐπιτελεῖται, ἀντὶ τοῦ κρανίου τόπου ἐστί. Τὸ εἰλητὸν, σημαίνει τὴν σινδόνα, ἐν ᾗ ἐνειλήθη τὸ σῶμα τοῦ χριστοῦ, ἐκ τοῦ σταυροῦ καταβὰν καὶ ἐν μνήματι τεθέν. καὶ ἡ ἐπάνω κάλυψις τοῦ δίσκου, ἐμφαίνει τὴν σινδόνα, ἣ εἵλιξαι τὸ σῶμα τοῦ κυρίου.

Τὸ δὲ δισκοκάλυμμά ἐστιν, ἀντὶ τοῦ σουδαρίου τοῦ ὄντος ἐπὶ τοῦ προσώπου περικαλύπτοντος αὐτὸ ἐν τῷ τάφῳ. Τὸ καταπέτασμα ἤγουν ὁ ἀὴρ ἐστὶ καὶ λέγεται ἀντὶ τοῦ λίθου οὗ ἠσφαλίσατο τὸ μνημεῖον ὁ Ἰωσήφ, ὅπερ ἐσφράγισεν ἡ πλάξ τῆς κουστωδίας. Ἰδοὺ ἐσταύρωται ὁ χριστὸς, τέθαπται ἡ ζωὴ, ἠσφαλίσθη ὁ τάφος. καὶ εὐθέως ὁ θυμιατὴρ ὑποδείκνυσι τὴν ἀνθρωπότητα τοῦ χριστοῦ· τὸ πῦρ, τὴν θεότητα, καὶ ὁ εὐώδης καπνὸς μηνύει τὴν εὐωδίαν τοῦ ἁγίου πνεύματος προπορευομένην· ὁ γὰρ θυμιατὴρ, ἑρμηνεύεται εὐωδεστάτη εὐφροσύνη. Τὸ δὲ θυμίαμα πέφηνεν, ἀντὶ τῶν ἀρωμάτων, ἃ προσέφερον εἰς τὸν ἐνταφιασμὸν τοῦ κυρίου· καὶ ἡ σμύρνα, καὶ ὁ λίβανος τῶν μάγων, ἡ καθαρὰ προσευχὴ τῶν ἀγαθῶν ἔργων, ἐξ ὧν ἡ εὐωδία ἔρχεται, καθὼς φησὶν ὁ ἀπόστολος, Χριστοῦ εὐωδία ἐσμέν.

γνῶτε οὖν πάντες οἱ ἱερεῖς, οἱ τῷ ἁγίῳ θυσιαστηρίῳ προσεδρεύοντες, καὶ τὴν ἀναίμακτον θυσίαν ἱερουργοῦντες, ὅτι τὰ ζωηρὰ πάθη χριστοῦ καταγγέλλομεν.

th. and. δίδοται τοίνυν καιρὸς παρὰ τοῦ ἀρχιερέως τοῖς ἱερεῦσι τοῖς μέλλουσι ἄρξασθαι τῆς θείας μυσταγωγίας. Τοῦτο δὲ ὁ καιρὸς χρηματίζει τὸν παρὰ τοῦ προφήτου Ἠσαΐου προαναφωνηθέντα καιρὸν, τῆς τοῦ προδρόμου Ἰωάννου κηρύξεως, καὶ τῆς χριστοῦ πρὸς ἡμᾶς ἐπιδημίας.

ὁ δέ γε ἱερεὺς ὁ τὴν ἔναρξιν τῆς θείας λειτουργίας ποιούμενος, εἰκόνα φέρει τοῦ προδρόμου Ἰωάννου καὶ βαπτιστοῦ προκαταρξαμένου τοῦ κηρύγματος, καὶ λέγοντος, Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν, καὶ βαπτίζοντος πάντας τοὺς προσερχομένους. οἱ διάκονοί εἰσιν οἱ ποιμένες.

οἱ ἱερεῖς εἰσὶν οἱ ἄγγελοι. ὁ διάκονος· Εὐλόγησον δέσποτα. ὁ ἱερεύς· Εὐλογημένη ἡ βασιλεία τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.

οὕτω τὴν πρώτην ἔχει τάξιν τῶν πρὸς τὸν θεὸν ἐντεύξεων ἡ δοξολογία· διὰ τοῦτο πρὸ πάσης εὐχῆς καὶ ἱερολογίας, ὁ ἱερεὺς δοξολογεῖ τὸν θεόν. cab. c. 12

Τί οὖν τὸ τελεστὸν ἐπιφημίζει τοῦ θεοῦ, καὶ οὐ τὸ ἐκείνου; οὐ γὰρ εὐλογητὸς ὁ θεός, ἢ εὐλογημένη ἡ τοῦ θεοῦ βασιλεία, ἀλλὰ τοῖς προσώποις διῃρημένως, Εὐλογημένη ἡ βασιλεία φησὶ, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, ὅτι διὰ τῆς ἐνανθρωπήσεως τοῦ κυρίου πρῶτον, ἔμαθον οἱ ἄνθρωποι, ὡς εἴη τρία πρόσωπα ὁ θεός. ταύτης δὲ τῆς ἐνανθρωπήσεως τοῦ κυρίου, μυσταγωγία ἐστὶ τὰ τελούμενα· ὅθεν ἐν τοῖς προοιμίοις αὐτῶν, ἔδει προλάμπειν καὶ κηρύττεσθαι τὴν τριάδα· καὶ ὑπὸ τῶν ἄνω δυνάμεων δοξάζεται ὁ θεὸς τρισὶν ἁγιασμοῖς, καὶ ὑπὸ ἀνθρώπων ἡ βασιλεία τοῦ χριστοῦ εὐλογεῖται, ὃς δυνάμει θεότητος αὐτοῦ τὸν ᾅδην ἐσκύλευσε, καὶ ἡμᾶς ἠλευ-

θύρωσι. Τὸ δὲ ἀμήν, ἀληθῶς, ἢ γένοιτο. Διὰ δὲ τὸ, εἰς αἰῶνας τῶν αἰώνων, τὸν καπνὸν τῆς πόλεως Βαβυλῶνος ἀναβαίνειν δηλοῦται, ὅτι τὸ αἷμα τῶν δούλων αὐτοῦ ἐκ τῆς χειρὸς Βαβυλῶνος ἐξεζήτησε, καὶ τοὺς αὐτῆς οἰκήτορας διὰ κολάσεως εὐηργέτησεν, ἐκκοπὴν τῆς ἁμαρτίας ἐργασάμενος.

ὁ διάκονος. Ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν. μετὰ δὲ τὴν δοξολογίαν, τὴν αἴτησιν λέγει· τὸ γὰρ τί προσευξόμεθα καθὸ δεῖ, οὐκ οἴδαμεν· καὶ ἵνα μὴ βαττολογῶμεν διδάσκει ἡμᾶς, ἃ δεῖ περὶ τῆς εὐχῆς, ὅτι ἐν εἰρήνῃ εὔχεσθαι δεῖ· οὔτ᾽ ἐξομολογησαμένους πρότερον, οὔτ᾽ εὐχαριστήσαντας τῷ θεῷ, ὅτι ἐν τῷ εἰπεῖν τὴν εἰρήνην, κἀκεῖνα περιέλαβεν, εἴ τις ἀκριβῶς ἐθέλει σκοπεῖν· νῦν διδάσκει, περὶ τούτου δεῖ αἰτεῖσθαι τὴν ἄνωθεν εἰρήνην καὶ τὴν τῶν ψυχῶν σωτηρίαν· οὕτω γὰρ ὁ χριστὸς ἐκέλευσεν αἰτεῖσθαι· μετὰ ἠρέμου νοὸς τὰς εὐχὰς ἡμῶν ἀποδῶμεν. Τῆς παναγίας, ἀχράντου, καὶ τὰ ἑξῆς. Τὰς παρὰ ἑξῆς πάντων τῶν ἁγίων μνησθέντες, ἕτερος τὸν ἕτερον, καὶ τὴν ζωὴν ἡμῶν ἅπασαν, σὺν τοῖς καλοῖς ἡμῶν ἔργοις τῷ θεῷ παραδώσωμεν.

Τὰ ἀντίφωνά εἰσι, τῶν προφητῶν αἱ προρρήσεις, προκαταγγέλλουσαι τὴν παρουσίαν τοῦ υἱοῦ τοῦ θεοῦ τὴν ἐκ παρθένου ἐπὶ γῆς, καὶ βοῶσαι, Ὁ θεὸς ἡμῶν ἐπὶ τῆς γῆς ὤφθη, καὶ εὐπρέπειαν ἐνεδύσατο, ἤγουν τὴν σάρκωσιν αὐτοῦ δηλοῦσαι, ἣν ἡμεῖς ἀποδεξάμενοι καὶ μαθόντες διὰ τῶν ὑπηρετῶν καὶ αὐτοπτῶν τοῦ λόγου γενομένων τῶν ἀποστόλων, λέγομεν.

Χρὴ δὲ εἰδέναι, ὅτι ἐν ἀρχῇ πάσης τελετῆς ὀρθρινῆς τε καὶ λυχνικῆς, πρῶτον τῆς παλαιᾶς ᾄδονται οἱ ψαλμοί, εἶτα τὰ τῆς νέας χάριτος ᾄσματα, ὡς προηγησαμένης τῆς παλαιᾶς διαθήκης, ἧς νομοθέτης ἐστὶν ὁ γεννηθεὶς ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν ἐχρημάτισεν, ἵν᾽ ἔχωσιν εἰδέναι πάντες, ὡς εἷς καὶ ὁ αὐτὸς θεός, καὶ δεσπότης, ὁ ταῦτα κἀκεῖνα νομοθετήσας χριστός.

Ἀντίφωνον α. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ κυρίῳ. τὰ κατὰ τὴν καρδίαν ἡμῶν ἔργα, διηγήσασθαι τῷ κυρίῳ ἀγαθόν ἐστι.

Καὶ ψάλλειν τῷ ὀνόματί σου ὕψιστε. ἐν μέλει εἰπεῖν, οὓς σοι προσφέρομεν, ὕμνους δεῖ. Τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. τοῦ διηγήσασθαι φανερῶς, τό, πῶς ἠλεήθημεν, καὶ κατὰ πάσης ἁμαρτίας προσφέρειν τὴν ἀλήθειαν τῶν πραγμάτων σου.

Ὅτι εὐθὺς κύριος ὁ θεὸς ἡμῶν. ἐπειδὴ ἀληθὴς κύριος ὁ θεὸς ἡμῶν.

Καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. καὶ οὐδὲν ψευδὲς παρὰ τῷ θεῷ.

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν. ἀκμὴν καὶ ἀκμὴν μετὰ ἠρέμου νοὸς τοῦ κυρίου δεηθῶμεν. Ἐκφώνως.

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. ὅτι σοῦ ἐστιν ἡ κυρεία καὶ ἡ βασιλεία πάντων τῶν ὁρατῶν τε καὶ ἀοράτων, καὶ διὰ τοῦτο ἡμεῖς οἱ ἐπὶ γῆς τὴν εὐχαριστίαν ἀ-

πάντες

πάντοτε καὶ δόξαν ἀδιαλείπτως σοι ἀναπέμπομεν, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμὴν ἐστὶν ἀληθῶς, ἢ γένοιτο. Ἀντίφωνον β΄.

Ὁ κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. ὁ κύριος ἐβασίλευσεν ἐπὶ τοὺς οὐρανούς, καὶ τὸν πιστὸν λαὸν περιεποιήσατο διὰ τοῦ ἰδίου αἵματος αὐτοῦ, καὶ ἐξῆλθεν εἰς πόλεμον κατὰ τοῦ διαβόλου.

Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. ἐστερέωσε τὴν οἰκουμένην τὴν ἐκκλησίαν ἐν τῇ πίστει αὐτοῦ, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. Τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα· τῷ οἴκῳ σου πρέπει ἁγίασμα κύριε. τὰ παθήματά σου ἐπιστώθησαν εἰς τὸν κόσμον· τῷ λαῷ σου πρέπει ἡ χάρις σου εἰς τοὺς ἀτελευτήτους αἰῶνας.

Συντέτακται δὲ τῷ τέλει τοῦ πρώτου ἀντιφώνου, τό, Ταῖς πρεσβείαις τῆς θεοτόκου σῶσον ἡμᾶς. ἵνα χάριν ἡ πάντως βεβαιοῦν τὰ πρότερον εἰρημένα, περὶ τοῦ τόκου τῆς ἀειπαρθένου, ὡς τῆς αὐτῆς αὐτὴ προηγεῖται διακονίας, καὶ ἀληθοῦς οἰκονομίας. τοῦ δευτέρου δὲ τὸ ἐφύμνιον, Ταῖς πρεσβείαις τῶν ἁγίων σου· ἐπεὶ γὰρ ὑπὲρ σωτηρίας ψυχῶν καὶ συγχωρήσεως πλασμάτων τὴν θείαν τελοῦμεν μυσταγωγίαν, εἰκότως, ὡς ὑπερτέραν οὖσαν τὴν θεομήτορα πάντων τῶν ἁγίων, ἢ καὶ αὐτῶν τῶν ἐπουρανίων δυνάμεων, εἰς ἱκεσίαν προσκαλούμεθα· εἶτα τοὺς εὐαρεστήσαντας τῷ ταύτης υἱῷ.

Τὸ δὲ τροπάριον, ὃ κατὰ τὸ τέλος τοῦ δευτέρου ἀντιφώνου λέγεται, τό, Ὁ μονογενὴς υἱὸς καὶ λόγος τοῦ θεοῦ, καὶ τὰ ἑξῆς, ποίημά ἐστιν Ἰωσὴφ καὶ Νικοδήμου· ἀπαίροντες γὰρ τὸν κύριον πρὸς τὸ ἐνταφιάσαι αὐτόν, ἐμυήθησαν αὐτό, ἀπὸ τοῦ τιμίου καὶ ζωοποιοῦ σώματος τοῦ κυρίου, καὶ τῆς ἐν αὐτῷ ἀχωρίστου θεότητος. ἔνιοι δὲ λέγουσιν, ὅτι τὸ αὐτὸ τροπάριον ἐκπεφώνηται, παρὰ τοῦ τῆς θείας λήξεως βασιλέως Ἰουστινιανοῦ, σφόδρα καὶ αὐτὸ τοῖς συμβόλοις τῆς χριστοῦ γεννήσεως ἐφαρμόζον· οὗτος γάρ φησιν, ὁ γεννηθείς, ὁ μονογενὴς υἱὸς καὶ λόγος προαιωνίου πατρὸς ὑπάρχων, καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς ἁγίας θεοτόκου, ἀτρέπτου μενούσης τῆς θεότητος καὶ ἀσυγχύτου, εἷς ἐστι τῆς ἁγίας τριάδος, ἐνανθρωπήσας καὶ σταυρωθῆναι καταδεξάμενος, ὁ καὶ ἐν τρισαγίῳ ὕμνῳ συνδοξαζόμενος ὑπὸ τῶν νοερῶν καὶ οὐρανίων δυνάμεων· ἀνεκφοιτήτως γὰρ καὶ ἀχωρίστως τῶν πατρικῶν κόλπων καταβὰς σεσάρκωται. αὐτὸς οὖν ἐστιν ὁ σώζων ἡμᾶς. ὁ διάκονος. Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ. ὁ ἱερεὺς ἐκφώνως.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν. ἀγαθὸς θεὸς λεγόμενος καὶ φιλάνθρωπος εἶ, ὅτι τὸν υἱόν σου εἰς τὸν κόσμον ἱλασμὸν ἀπέστειλας· διὰ τοῦτο τὴν δόξαν καὶ εὐχαριστίαν σοι ἀναπέμπομεν, ὅ ἐστι προσάγομεν, νῦν καὶ πάντοτε εἰς τοὺς αἰῶνας. Ἀντίφωνον γ΄.

Δεῦτε ἀγαλλιασώμεθα τῷ κυρίῳ. δεῦτε ἐμπλησθῶμεν πάσης χαρᾶς

ἐν κυρίῳ. Ἀλαλάξωμεν τῷ θεῷ τῷ σωτῆρι ἡμῶν. δεηθῶμεν μετὰ δακρύων τοῦ θεοῦ ἡμῶν Ἰησοῦ. Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ. καὶ περὶ τῆς παρουσίας αὐτοῦ δεηθῶμεν αὐτῷ, καὶ ψάλλοντες ἱκετεύσωμεν αὐτόν.

Ὅτι θεὸς μέγας κύριος καὶ βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. μέγας θεός ἐστιν Ἰησοῦς χριστὸς, καθὼς ὁ ἀπόστολος λέγει, ἐν τῷ εἰπεῖν, Τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ, ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, καὶ ἐπὶ πάντα τὰ ἔθνη ἐβασίλευσε, καὶ βασιλεύσει διὰ τῆς πίστεως αὐτοῦ, ὅτι οὐκ ἀπώσεται κύριος τὸν λαὸν αὐτοῦ. Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ. ὁ πιστὸς λαὸς δηλονότι καὶ οἱ λοιποὶ τῶν προφητῶν. Ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτήν. ὅτι αὐτοῦ ἐστι πᾶν τὸ πλῆθος τῶν ἀνθρώπων, καὶ αὐτὸς τὸ πρότερον ἐδημιούργησεν αὐτοὺς, καὶ πάλιν ἐν τῷ βαπτίσματι αὐτοῦ ἀνεκαίνισεν αὐτούς.

Καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν. καὶ τὴν καρδίαν πάντων τῶν ἀνθρώπων ἔχουσι τὸ πνεῦμα τὸ ἅγιον αὐτοῦ, ἐν τῷ λουτρῷ τῆς ἀφθαρσίας. ἡ εἴσοδος τοῦ εὐαγγελίου, ἐμφαίνει τὴν παρουσίαν τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ τὴν εἴσοδον τὴν εἰς τὸν κόσμον τοῦτον, ὡς λέγει ὁ ἀπόστολος. Ὅταν εἰσαγάγῃ, ἤγουν ὁ θεὸς καὶ πατὴρ, τὸν πρωτότοκον τὸν μονογενῆ αὐτοῦ, εἰς τὴν οἰκουμένην, λέγει, Καὶ προσκυνησάτωσαν αὐτὸν πάντες ἄγγελοι αὐτοῦ.

Ἔπειτα δεικνυούσης καὶ τοῦ ἀρχιερέως, διὰ τῆς στολῆς αὐτοῦ, τὴν τῆς σαρκὸς τοῦ χριστοῦ στολὴν, τὴν ἐρυθρὰν καὶ αἱματώδη ἣν ἐφόρεσεν ὁ ἄϋλος καὶ θεὸς, ὡς πορφύραν βαφεῖσαν ἐξ ἀχράντων αἱμάτων τῆς θεοτόκου, καὶ ἀνέλαβε τὸ πλανηθὲν πρόβατον ἐπὶ τὸν ὦμον αὐτοῦ, τὸ ἀρχαῖον κώδιον τοῦ ἀδαμιαίου φυράματος, ὁ ποιμὴν ὁ καλὸς, ὁ ποιμαίνων τὸν Ἰσραὴλ ἐν τῇ ῥάβδῳ τοῦ σταυροῦ αὐτοῦ· ἐν σπαργάνοις μὲν εἰληθεὶς καὶ τεθεὶς, οὐκ ἐν φάτνῃ μὲν τῶν ἀλόγων, ἀλλ' ἐν τραπέζῃ λογικῇ ἀνθρώπων, ὃν ἐν τῇ γεννήσει αὐτοῦ ὕμνησαν ἀγγέλων στρατιαὶ, λέγουσαι· Δόξα ἐν ὑψίστοις θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία· καὶ πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι, καὶ ψαλλάτωσάν σοι. καὶ πάντων καθυπακουόντων, λέγει·

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ, σῶσον ἡμᾶς υἱὲ θεοῦ. πρῶτον αὐτῷ κλίνωμεν γόνυ, ὡς οἱ πειθήνιοι ὄντες, καὶ ὅτι συγχώρησιν αὐτῷ αἰτήσωμεν, ὧν ὀφείλομεν αὐτῷ· καὶ κηρύττωμεν αὐτοῦ τὴν παρουσίαν, φανερωθεῖσαν ἡμῖν ἐν χάριτι τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ.

Ἄλλως περὶ τῆς εἰσόδου.

Δοκῶ μὲν γὰρ τὴν ἐπὶ τοῦ Ἰορδάνου ἀνάδειξιν καὶ φανέρωσιν τοῦ χριστοῦ καὶ θεοῦ ἡμῶν, τὴν τοῦ ἀρχιερέως εἴσοδον ὑπαινίττεσθαι· μέχρι γὰρ ταύτης, εἰ καὶ ἦν ὁ ἀρχιερεὺς, ἀλλ' οὐχὶ πᾶσι δῆλος καὶ γνώριμος, οὐδὲ εἰς μέσον ἐστὼς, καὶ τὰ ὑπερφυῆ καὶ ἐξαίσια τελῶν· ἀλλ' ὁ τὸ κατ' ἐμὲ λαβὼν ἱερεὺς, ὡς

πρὸς

πρόδρομος ἐνήργει, τὸ διὰ μετανοίας βάπτισμα· ὃς εἰσελθόντα ἰδὼν τὸν ἀρχιερέα, μεθίσταται, μονονουχὶ τοῦτ' ἐκεῖνο ἠρέμα πρὸς ἑαυτὸν διαλεγόμενος, ὅπερ ἔφησε καὶ ὁ Ἰωάννης, Τοῦτον δεῖ αὐξάνεσθαι, ἐμὲ δὲ ἐλαττοῦσθαι. καὶ εὐθὺς παραχωρεῖ τῷ ἀρχιερεῖ τὰ μείζονα τελεσιουργεῖν· ὃς καὶ λέγει.

Ὅτι ἅγιος εἶ ὁ θεὸς ἡμῶν. ὁ τρισάγιος ὕμνος, ἔστι μὲν οὕτως, ὡς ἐκεῖνοι οἱ ἄγγελοι εἶπον· Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου κύριε, καὶ δόξα ἐν ὑψίστοις θεῷ· ἐνταῦθα δὲ ὡς οἱ μάγοι τὰ δῶρα προσφέροντες τῷ χριστῷ, πίστιν, ἐλπίδα καὶ ἀγάπην, ὡς χρυσὸν καὶ λίβανον καὶ σμύρναν, τῶν ἀσωμάτων τὸ ᾆσμα βοῶντες πιστῶς καὶ λέγοντες· Ἅγιος ὁ θεός· ὁ θεὸς, ἤτοι ὁ πατήρ. Ἅγιος ἰσχυρὸς, ὁ υἱὸς καὶ λόγος· διότι τὸν καθ' ἡμῶν ἰσχυρὸν διάβολον δυσμενῶς, κατήργησε διὰ τοῦ σταυροῦ, τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, καὶ τὴν ζωὴν καὶ τὴν ἰσχὺν καὶ τὴν ἐξουσίαν ἡμῖν ἔδωκε τοῦ πατεῖν ἐπάνω αὐτοῦ.

Ἅγιος ἀθάνατος, τὸ πνεῦμα τὸ ἅγιον, τὸ ζωοποιὸν, δι' οὗ πᾶσα ἡ κτίσις ζωοποιεῖται, καὶ διαμένει, καὶ βοᾷ λέγουσα, Ἐλέησον ἡμᾶς.

ὁ παράκλητος, τὸ πνεῦμα τὸ ἅγιον τὸ τῆς ἀληθείας, ὁ τὴν θυσίαν τελεσιουργῶν, καὶ ἀεὶ ἐπιφοιτῶν τοῖς τέκνοις τῆς ἐκκλησίας, καὶ ἐλεεῖ καὶ ἀθανατοῖ διὰ τοῦ βαπτίσματος. Ἄλλως. Ἅγιος ὁ θεὸς, ἤτοι ὁ πατὴρ, ὁ ὢν καὶ ἦν καὶ ἐρχόμενος· ὁ χρηματίσας πάλαι τῷ Μωϋσῇ λέγων· Ἐγώ εἰμι ὁ ὤν, ὁ θελήσας τὸν μόσχον θῦσαι δι' ὑμᾶς. Ἅγιος ἰσχυρὸς, ὁ υἱὸς καὶ λόγος τοῦ θεοῦ, ὃς ἦν ἐν ἀρχῇ πρὸς τὸν θεὸν, δι' οὗ τὰ πάντα ἐγένετο, καὶ μόσχος ὁ ἀεὶ θυόμενος ἑκὼν, καὶ ἀεὶ ζῶν. διὰ δὲ τὸ, Ἦν ἐν ἀρχῇ πρὸς τὸν θεὸν, δι' οὗ τὰ πάντα ἐγένετο, ἅμα καὶ ὁ μόσχος ὁ ἀεὶ θυόμενος ἑκὼν, καὶ ἀεὶ ζῶν καὶ διαμένων, τὸ ἀθάνατον σημαίνει, τοῦ περιέχοντος ἐν ἑαυτῷ πάντων τῶν ὄντων, τήν τε ἀρχὴν καὶ τὰ μέσα καὶ τὰ τελευταῖα. Ἄλλως.

Ἅγιος ἰσχυρὸς, ὁ υἱὸς καὶ λόγος τοῦ θεοῦ· ἰσχυρὸς μὲν, ὡς ἰσχὺς θεοῦ, σοφία καὶ δύναμις, κατὰ τὸν λέγοντα ἀπόστολον, Ὁ υἱὸς καὶ λόγος τοῦ θεοῦ, ἰσχυρὸς καὶ δυνατὸς, καὶ ζῶν, ἐνεργής τε καὶ τομώτερος μαχαίρας διστόμου, καὶ τὰ ἑξῆς. Ἅγιος ἀθάνατος, σημαίνει τὸ περιέχοντος ἐν ἑαυτῷ πάντων τῶν ὄντων τήν τε ἀρχὴν καὶ τὸ τέλος. λέγεται δὲ ἐκ τρίτου τὸ τρισάγιον, ἐπεὶ ἁρμόττει καὶ ἐφ' ἑνὶ ἑκάστῳ τῶν τριῶν προσώπων τῆς μιᾶς θεότητος, τὰ τρία ταῦτα ἅγια· ἕκαστον γὰρ τούτων, καὶ ἅγιός ἐστι, καὶ ἰσχυρὸς, καὶ ἀθάνατος· φύσις μὲν γὰρ καὶ οὐσία τοῖς τρισὶ μία. ὄνομα δὲ κοινὸν ἓν ἡ θεότης, εἰ καὶ ἕκαστον τῶν τριῶν προσώπων θεὸς ὀνομάζεται τέλειος. ἐν τούτοις δὲ τοῖς βραχέσι ῥήμασι καλῶς νοεῖται καὶ τὸ παρὰ τοῦ μεγάλου θεολόγου οὕτω πως εἰρημένον· Διαιρεῖται γὰρ ἀδιαιρέτως, ἵν' οὕτως εἴπω, καὶ συνάπτεται διῃρημένως. καὶ ἀλλαχοῦ ὁ αὐτός· Οὐ φθάνω τὸ ἓν ἐννοῆσαι καὶ τοῖς τρισὶ περιλάμπομαι· οὐ φθάνω τὰ τρία διελεῖν, καὶ εἰς τὸ ἓν ἀναφέρομαι. ἀλλὰ μή τις τὰς μαρτυρίας ταύτας τοῦ τρισαγίου ἀκούων, νομίσῃ τὸν τρισάγιον τὴν ἀρχὴν λα-

ἐστιν, ἀπὸ τῆς τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν ἐνανθρωπήσεως· πάλαι γὰρ ὑπὸ τῶν θεηγόρων προφητῶν, μυστικῶς τῷ πνεύματι προαναπεφωνημένος ἦν.

Τούτου γὰρ τὸν τύπον καὶ τὰς ῥήσεις ἱστορῶν ὁ Δαβίδ, διὰ βραχυλογίας οὕτω παρίστησιν, Ἐδίψησε λέγων, ἡ ψυχή μου πρὸς τὸν θεὸν τὸν ἰσχυρὸν τὸν ζῶντα. καὶ ἀλλαχοῦ, Τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, πᾶσα ἡ δύναμις αὐτῶν. καὶ ἑτέρωθεν, Ἐν τῷ φωτί σου ὀψόμεθα φῶς. ὁ δὴ ὑπὸ Ἡσαΐου ἐκφωνηθεὶς σεραφικὸς ὕμνος, καὶ τὰ τρία ἅγια εἰς μίαν κυριότητα συνάγων καὶ θεότητα, ἵνα διαφορὰν φέρῃ τοῦ παρ' ἡμῶν ᾀδομένου τρισαγίου. τὸ δὲ ἀνελθεῖν ἐν τῷ συνθρόνῳ τὸν ἀρχιερέα, καὶ σφραγίσαι τὸν λαόν, ἐστίν, ὅτι ὁ υἱὸς τοῦ θεοῦ μέλλων πληροῦν τὴν κατὰ σάρκα ἡμῶν οἰκονομίαν, ἐπάρας τὰς χεῖρας αὐτοῦ, εὐλόγησε τοὺς ἁγίους αὐτοῦ μαθητάς, λέγων αὐτοῖς, Εἰρήνην ἀφίημι ὑμῖν, δεικνύων ὅτι τὴν αὐτὴν εἰρήνην καὶ εὐλογίαν δέδωκε τῷ κόσμῳ ὁ Χριστὸς διὰ τῶν ἀποστόλων αὐτοῦ.

Ἄλλως. Ἡ σφραγίς, ἣν ὁ ἀρχιερεὺς εἴωθε ποιεῖν ἐν τῷ τέλει τοῦ τρισαγίου, εἰς πλήρωσιν μὲν καὶ οἱονεὶ ἐκσφράγισμα τῶν περὶ Χριστοῦ προηγορευμένων προφητικῶν χαρακτηρίζεται· ἡ γὰρ αὐτοῦ διὰ σαρκὸς παρουσία, σφραγὶς ἐγένετο, ἐπικυροῦσα τὰ ὑπ' ἐκείνων προηγορευμένα ὡς ἀληθῆ. αὐτὴ δὲ καὶ εἰς ἀρχὴν τῶν θεοπρεπῶν ἔργων, καὶ τῆς τοῦ ἀνθρωπίνου γένους ἀναπλάσεως τέτακται. Τάξις γάρ φησιν ὁ θεολόγος Γρηγόριος, ἀρίστη ἐκ θεοῦ τε ἄρχεσθαι, καὶ εἰς θεὸν ἀναπαύεσθαι. ἀρχιερεύς, ὁ κύριος· θρόνος, ἡ παρθένος. τὸ δὲ καθίσαι ἐστίν, ὅτι ὁ υἱὸς τὴν ἑαυτοῦ σάρκα ἣν ἐφόρεσε, καὶ τὸ πρόβατον ὃ ἀνέλαβεν ἐπὶ τῶν ὤμων, ὅπερ σημαίνει τὸ ὠμοφόριον, ὅ ἐστι τὸ ἀδαμιαῖον φύραμα, ἀνεβίβασεν ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ κυριότητος τῶν ἄνω δυνάμεων, καὶ προσήγαγεν αὐτὸ τῷ θεῷ καὶ πατρί. ἐπεὶ γὰρ ὁ μὲν ἐθέωσεν, ὁ δὲ ἐθεώθη, τουτέστι τὸ πρόσλημμα, ὃ διὰ τὴν ἀξίαν τοῦ προσενέγκαντος, καὶ τὴν καθαρότητα τοῦ προσενεχθέντος, ἐδέξατο αὐτὸ ὁ θεὸς καὶ πατήρ, ὡς θυσίαν καὶ προσφορὰν εὐάρεστον ὑπὲρ τῆς ἀνθρωπίνου φύσεως· πρὸς ὃν εἶπεν ὁ Δαβίδ, Εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου ἤτοι ὁ πατὴρ τῷ υἱῷ, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης αὐτοῦ ἐν ὑψηλοῖς. οὗτος ἐστὶν Ἰησοῦς ὁ Ναζωραῖος, ὁ ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν. μετὰ δὲ τὸν τρισάγιον ὕμνον, ἀναγινώσκεται βιβλίον ἀποστολικόν, καὶ λέγει ὁ διάκονος· Πρόσχωμεν. ἀκουτισθῶμεν, ἐνωτισθῶμεν πάντες μετὰ ἠρέμου νοός. Σοφία.

Ψαλμὸς τῷ Δαβίδ. ὁ λόγος τοῦ θεοῦ ὁ ἅγιος καὶ ἀγαπητός, ἀναγγέλλει τὰ τοῦ πατρός, ἃ εἰσιν ἀπόκρυφα. τὸ προκείμενον μηνύει πάλιν, τὴν τῶν προφητῶν ἐκφαντορίαν, καὶ τὴν προμήνυσιν τῆς τοῦ βασιλέως Χριστοῦ παρουσίας, ὡς στρατιῶται προτρέχοντες καὶ βοῶντες· Ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ ἐμφάνηθι, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς. καὶ ὁ θεὸς κά-

θηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ. καὶ ὁ αὐτόπτης καὶ ὑπουργὸς τοῦ λόγου Παῦλος βοᾷ, κηρύσσων τὴν τοῦ θεοῦ βασιλείαν, καὶ λέγων, Χριστὸς παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν διὰ τῆς μείζονος, καὶ τὰ ἑξῆς. μεθ' ὃ βοᾷ καὶ Ἰωάννης ὁ βαπτιστής, Ὁ ὀπίσω μου ἐρχόμενος, ἔστιν ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου αὐτὸς ἡμᾶς ἁγιάσει ἐν πνεύματι καὶ πυρί, καὶ μέσον ἡμῶν ἔστηκε. μετὰ δὲ τοῦτο, καὶ ἡ τῶν ἀποστόλων κλῆσις, καὶ ἡ ἀνάδειξις αὐτῶν ἀναφαίνεται διὰ τῆς τῶν πράξεων αὐτῶν, ἢ τῶν ἐπιστολῶν ἀναγνώσεως. τὸ ἀλληλούϊα, βοᾷ Δαβίδ, καὶ λέγει, Ὁ θεὸς ἡμῶν ἐμφανῶς ἥξει, καὶ πῦρ ἐνώπιον αὐτοῦ προπορεύσεται. ἔφαναν αἱ ἀστραπαὶ τῶν εὐαγγελιστῶν αὐτοῦ τῇ οἰκουμένῃ· τῇ γὰρ ἑβραΐδι διαλέκτῳ, ἐστὶ τὸ ἀλ, ἔρχεται, ἐφάνη· τὸ δὲ ηλ, ὁ θεός· τὸ δὲ οὔϊα, αἰνεῖτε καὶ ὑμνεῖτε τὸν ζῶντα θεόν. Ἄλλως. ἀλ ὁ πατήρ· ηλ, ὁ υἱός· οὔϊα, τὸ πνεῦμα τὸ ἅγιον. Ἀλληλούϊα, θεὸς ἰσχυρὸς, κραταιὸς, αἶνος θεοῦ· αἰνεῖτε τὸν ὄντα θεόν. Ἀλληλούϊα, αἶνος τῷ ὄντι θεῷ. Ἄλλως. Ἀλληλούϊα, θεῖον αἶνον σημαίνει τελεσθεὶς, διὰ τὴν τελεσιουργίαν πατρὸς, υἱοῦ, καὶ ἁγίου πνεύματος ἑνιαίαν θεότητα. Ἄλλως. Ἀλληλούϊα, κῆρυξ τοῦ εὐαγγελίου κράζων ὁ κύριος ἔρχεται. Ἄλλως. Ἀλληλούϊα, αἰνέσατε, ὑμνήσατε. λέγεται δὲ τοὺς ἀγγέλους ταύτῃ τῇ φωνῇ ὑμνεῖν τὸν θεόν, ὥσπερ τὰ χερουβὶμ, τὸ ἅγιος. καὶ τοῦτο οἱ ἅγιοι πατέρες παραδεδώκασιν, αὐτήκοοι γενόμενοι, ὥσπερ Ἡσαΐας τῶν σεραφίμ.

καὶ γὰρ εὐθέως ὁ θυμιατὸς ὑποδείκνυσι τὴν ἀνθρωπότητα τοῦ χριστοῦ· τὸ πῦρ, τὴν θεότητα· ὁ εὐώδης καπνὸς μηνύει τὴν εὐωδίαν τοῦ ἁγίου πνεύματος προπορευομένην· ὁ γὰρ θυμιατὸς, ἔστιν εὐωδεστάτη εὐφροσύνη.

Σοφία. ὁ λόγος τοῦ θεοῦ. Ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου. τουτέστιν ἄρωμεν τὰς διανοίας ἡμῶν σὺν τοῖς ἔργοις ἀπὸ τῶν γηΐνων, καὶ συνήσωμεν τῶν ἀγαθῶν τὴν δήλωσιν. τὸ εὐαγγέλιόν ἐστιν, ἡ παρουσία τοῦ υἱοῦ τοῦ θεοῦ, καθ' ἣν ὤφθη ἡμῖν, οὐκέτι διὰ νεφελῶν καὶ αἰνιγμάτων λαλῶν ἡμῖν ὡς ποτὲ τῷ Μωϋσῇ, διὰ φωνῶν καὶ ἀστραπῶν καὶ σαλπίγγων, ἤχῳ καὶ γνόφῳ καὶ πυρὶ ἐπὶ τοῦ ὄρους, ἢ τοῖς πάλαι προφήταις, δι' ἐνυπνίων, ἀλλ' ἐμφανῶς ὡς ἄνθρωπος ἀληθῶς ἐφάνη, καὶ ὤφθη ἡμῖν, ὡς πρᾶος καὶ ἥσυχος βασιλεὺς, ὁ πρὶν καταβὰς ὡς ὑετὸς ἐπὶ πόκον ἀψοφητί· καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας. δι' οὗ ἐλάλησεν ἡμῖν ὁ θεὸς καὶ πατὴρ στόμα πρὸς στόμα, καὶ οὐ δι' αἰνιγμάτων. περὶ οὗ ὁ πατὴρ ἐξ οὐρανοῦ μαρτυρεῖ, καὶ λέγει· Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός. Σοφία. λόγος καὶ δύναμις, ὁ ἐν προφήταις ῥηθεὶς, καὶ προκηρυχθεὶς ἡμῖν, ἐν εὐαγγελίοις δὲ φανερωθεὶς, ἵνα ὅσοι λάβωσιν αὐτὸν καὶ πιστεύσωσιν εἰς τὸ ὄνομα αὐτοῦ, λάβωσιν ἐξουσίαν τέκνα θεοῦ γενέσθαι, ὃν ἀκηκόαμεν καὶ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, σοφίαν καὶ λόγον θεοῦ τοῦτον εἶναι· πάντες πι-

στεύοντες βοῶμεν, δόξα σοι κύριε. εἶτα πάλιν τὸ πνεῦμα, τὸ ἐν νεφέλῃ φωτεινῇ ἐπισκιάζον, νῦν δι' ἀνθρώπου βοᾷ. Πρόσχωμεν. Πρόσχετε, τουτέστιν, αὐτοῦ ἀκούετε. Ματθαῖος, ἑρμηνεύεται, μέλι. Μάρκος, οἶνος. Λουκᾶς, γάλα. Ἰωάννης, ἔλαιον.

Τὰ τέσσαρα εὐαγγέλιά εἰσι, κατὰ τὰ τέσσαρα πνεύματα καθολικά, ἀπηλιώτην, ζέφυρον, νότον, καὶ βορρᾶν· αὐτὰ γάρ εἰσι πρὸς σύστασιν τοῦ παντός. καθολικὰ δὲ λέγονται, διὰ τὰ ἀντιπνέοντα ὄχλῳ. καὶ ἄλλως.

τέσσαρά εἰσιν εὐαγγέλια, καὶ τέσσαρα καθολικὰ πνεύματα, κατὰ τὰ τετράμορφα ζῶα, λέγω δὴ τὰ χερουβίμ, ἐν οἷς κάθηται ὁ τῶν ὅλων θεός. ἐξ ὧν φαίνεται, ὅτι ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ θεός, καὶ συνέχων τὸ πᾶν, φανερωθεὶς, ἔδωκεν ἡμῖν τετράμορφον τὸ εὐαγγέλιον, ἑνὶ δὲ πνεύματι συνεχόμενον· καὶ γὰρ τετραπρόσωπά εἰσι. καὶ τὰ πρόσωπα αὐτῶν εἰκονίζουσι τὴν πραγματείαν τοῦ υἱοῦ τοῦ θεοῦ· τὸ μὲν γὰρ πρῶτον ζῶον, φησίν, ὅμοιον λέοντι, τὸ ἔμπρακτον αὐτοῦ καὶ ἡγεμονικὸν καὶ βασιλικὸν χαρακτηρίζον. τὸ δὲ δεύτερον, ὅμοιον μόσχῳ, τὴν ἱερουργικὴν καὶ ἱερατικὴν τάξιν ἐμφαῖνον. τὸ δὲ τρίτον, ἔχον πρόσωπον ἀνθρώπου, τὴν κατὰ ἄνθρωπον αὐτοῦ παρουσίαν φανερῶς διαγράφον. τὸ τέταρτον, ὅμοιον ἀετῷ πετομένῳ, τὴν τοῦ ἁγίου πνεύματος ἐφιπταμένην δόσιν σαφηνίζον.

Τοίνυν καὶ τὰ εὐαγγέλια, τούτοις σύμμορφά εἰσιν, ἐν οἷς ἐπικάθηται ὁ χριστός· τὸ μὲν γὰρ, ἀετὸς, κατὰ Ἰωάννην εὐαγγέλιον, τὴν ἀπὸ τοῦ πατρὸς ἡγεμονικὴν αὐτοῦ καὶ ἔνδοξον γέννησιν διηγεῖται λέγων· Ἐν ἀρχῇ ἦν ὁ λόγος. καὶ πάντα δι' αὐτοῦ ἐγένετο· καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν. τὸ δὲ, ταῦρος, κατὰ Λουκᾶν, ἅτε ἱερατικοῦ χαρακτῆρος ὑπάρχον, ἀπὸ Ζαχαρίου ἱερέως θυμιῶντος ἄρχεται λέγων· Ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν, καὶ τὰ ἑξῆς. ἤδη γὰρ ὁ σιτευτὸς μόσχος ὑπὲρ τῆς εὑρέσεως τοῦ νεωτέρου παιδὸς ἔμελλε θύεσθαι. βοῦς τὸ ὀρεκτικὸν ἢ πῦρ σημαίνει. ποικίλος δὲ ἵππος, Λουκᾶς, ὡς εὐπλατώτερον καὶ ποικιλώτερον τὸ κατὰ τὸν κύριον ἐκθέμενος. Ματθαῖος δὲ, τὴν κατὰ ἄνθρωπον αὐτοῦ γέννησιν κηρύττει λέγων· Βίβλος γενέσεως Ἰησοῦ χριστοῦ, καὶ τὰ ἑξῆς. τοῦ δὲ Ἰησοῦ χριστοῦ ἡ γέννησις οὕτως ἦν. ἀνθρωπόμορφον οὖν τὸ εὐαγγέλιον τοῦτο. ἄνθρωπος τὸ λογικὸν, ἄνθρωπος μὲν, τὸν ἐγκέφαλον. λατῖνοι δὲ λέγουσι, ῥατζιονάβιλε, ἕλληνες δὲ λέγουσι φρόνησιν καὶ λογιότητα· οἱ δὲ ἄραβες ἤτοι σαρακηνοί, ἐλαφάκαρ, ἐλακίλ, ἢ τζινοκῶ. πυρρὸς οὖν ἵππος, Ματθαῖος, ὡς τὰ τῆς ἐνανθρωπήσεως τοῦ κυρίου τρανῶς ἐκθέμενος. λέοντος δὲ Μάρκος ἀπὸ τοῦ προφητικοῦ πνεύματος, τοῦ ἐξ ὕψους ἐπιόντος τοῖς ἀνθρώποις, τὴν ἀρχὴν ἐποιήσατο λέγων· Ἀρχὴ τοῦ εὐαγγελίου Ἰησοῦ χριστοῦ, ὡς γέγραπται ἐν τοῖς προφήταις· Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, τὴν πτερωτικὴν εἰκόνα τοῦ εὐαγγελίου, διὰ τούτων δεικνύς.

Λέων

λέων θυμικόν. λατῖνοι λέγουσιν, ἰρασκίβιλε. Καὶ ἄλλως. Τὸ θυμικόν, ἀνδρίαν καὶ δειλίαν· λατῖνοι ἰρασκίβιλε, σαρακηνοί, ἐλγαδάβ· ἔνιδι, οὐελγίβην. Καὶ ἄλλως. Ψαρὸς ἵππος, Μάρκος, ὡς διαθέστερον τὸ εὐαγγέλιον γράψας· Ἰωάννης, ἀετός, τὸ πνευματικόν. Καὶ ἄλλως. Ἀετὸς δὲ ἡ ψυχή. Καὶ ἄλλως. Λευκὸς ἵππος Ἰωάννης, ὡς λευκότερον πᾶσαν αἵρεσιν στηλιτεύσας. καὶ αὖθις δὲ ὁ λόγος τοῦ θεοῦ, τοῖς μὲν πρὸ Μωϋσέως πατριάρχαις, κατὰ τὸ θεϊκὸν καὶ ἔνδοξον ὡμίλει· τοῖς δὲ ἐν τῷ νόμῳ, ἱερατικὴν τάξιν ἀπένειμε· μετὰ δὲ ταῦτα ἄνθρωπος γενόμενος, τὴν δωρεὰν τοῦ ἁγίου πνεύματος, εἰς πᾶσαν ἐξέπεμψε τὴν γῆν, σκεπάζων ἡμᾶς ταῖς αὐτοῦ πτέρυξιν. ὁποία οὖν ἡ πραγματεία τοῦ υἱοῦ τοῦ θεοῦ, τοιαύτη καὶ τῶν ζώων ἡ μορφή, τοιοῦτος καὶ τῶν εὐαγγελίων ὁ χαρακτήρ· τετράμορφα γὰρ τὰ ζῶα, τετράμορφον καὶ τὸ εὐαγγέλιον, καὶ ἡ πραγματεία τοῦ κυρίου, καὶ διὰ τοῦτο, τέσσαρες ἐδόθησαν καθολικαὶ διαθῆκαι τῇ ἀνθρωπότητι· μία μὲν τῷ κατακλυσμῷ τοῦ τόξου, ἐπὶ τοῦ τόξου· δευτέρα δέ, τῷ Ἀβραάμ, ἐπὶ τοῦ σημείου τῆς περιτομῆς· τρίτη δέ, ἡ νομοθεσία διὰ Μωϋσέως· τετάρτη δέ, ἡ τοῦ εὐαγγελίου Ἰησοῦ χριστοῦ τοῦ κυρίου ἡμῶν. τούτων δὲ οὕτως ἐχόντων, μάταιοι πάντες καὶ ἀμαθεῖς, προσέτι δὲ καὶ τολμηροί, οἱ ἀθετοῦντες τὴν ἰδέαν τοῦ εὐαγγελίου, καὶ εἴτε πλείονα, εἴτε ἐλάττονα τῶν εἰρημένων παρεισφέροντες εὐαγγελίων πρόσωπα· οἱ μέν, ἵνα πλείονα δόξωσι τῆς ἀληθείας ἐξευρηκέναι· οἱ δέ, ἵνα τὰς οἰκονομίας τοῦ θεοῦ ἀθετήσωσιν. αἱ μετὰ τὴν τῶν θείων εὐαγγελίων ἀνάγνωσιν εὐχαὶ καὶ αἰτήσεις, ἄχρι τοῦ χερουβικοῦ ὕμνου, τὴν ἐπὶ τρισὶ χρόνοις διδασκαλίαν ἐμφαίνουσι τοῦ χριστοῦ καὶ θεοῦ ἡμῶν, καὶ τὴν τῶν πρὸς τὸ βάπτισμα εὐτρεπιζομένων κατήχησιν ἐφ᾽ ὃ τούτοις ἡ τῶν λόγων δύναμις, καὶ ἡ τῶν θαυμάτων ἐνέργεια καθυφείλκετο. ὅτε δὲ καὶ οἱ κατηχούμενοι καὶ μήπω καταξιωθέντες τῶν τοῦ χριστοῦ μυστηρίων, ἔξω μεθίστανται. αἱ δὲ ἐν τῷ μεταξὺ τούτων γινόμεναι εὐχαί, ὑπέρ αὐτῶν τε γίνονται τῶν κατηχουμένων, πιστῶν, καὶ αὐτοῦ τοῦ ἀρχιερέως· ἐννοοῦντες γὰρ οἱ θεσπέσιοι πατέρες, ὁποίαν ἐστὶ χρὴ τὴν ψυχήν, καὶ τὴν χεῖρα τοῦ μέλλοντος ἅπτεσθαι, τοῦ παναχράντου σώματος χριστοῦ τοῦ θεοῦ ἡμῶν, καὶ ὡς καθαρωτέραν τῶν ἡλιακῶν ἀκτίνων ταύτην δεῖ τυγχάνειν, τὰς ὑπὲρ τῆς συγχωρήσεως τούτων εὐχάς, διὰ φιλανθρωπίαν ἐσομένης, ἐξέθεντο.

Ἐλέησον ἡμᾶς ὁ θεὸς κατὰ τὸ μέγα ἔλεός σου. μέγα ἔλεος, ὁ υἱὸς τοῦ θεοῦ καὶ λόγος, ὃν εἰς τὸν κόσμον ἀπέστειλεν ἱλασμὸν ὁ πατήρ.

Τὸ κατασφραγίζειν τὸν λαὸν τὸν ἀρχιερέα, ὑποδείκνυσι τὴν μέλλουσαν χριστοῦ παρουσίαν, ἐν τῷ ἑξακισχιλιοστῷ πεντακοσιοστῷ ἔτει μέλλειν ἔσεσθαι, διὰ τῆς ψηφῖδος τῶν δακτύλων ἐμφαινούσης, ἑξακισχίλια πεντακόσια. τοῦτο καὶ Ἱππόλυτος Ῥώμης, καὶ ὁ ἅγιος Κύριλλος λέγουσιν ἐν τοῖς περὶ τοῦ ἀντιχρίστου λόγοις αὐτῶν, ἐν τῷ ἑξακισχιλιοστῷ πεντακοσιοστῷ

ἔτει, τὴν μέλλουσαν προεσίαν ἔσεσθαι, καὶ ὁ Χρυσόστομος.

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις. Ὅσοι κατηχούμενοι προέλθετε. οἱ κατηχούμενοι ἐξέρχονται, ὡς ἀμύητοι τοῦ θείου βαπτίσματος, καὶ τῶν τοῦ Χριστοῦ μυστηρίων, περὶ ὧν λέγει ὁ κύριος, ὅτι καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης, καὶ τὰ ἑξῆς.

εὐαγ. κγ. Εὔξασθε οἱ κατηχούμενοι τῷ κυρίῳ. οἱ ἀμύητοι, οἱ ἀβάπτιστοι, καὶ οἱ ἐν ἐπιτιμίοις διὰ ἐξαγορεύσεως· ἀμύητοι μὲν, οἱ ἄπειροι, οἱ ἔτι μὴ μετασχόντες τῶν θείων μυστηρίων· ἀβάπτιστοι δὲ, οἱ μὴ φωτισθέντες ἔτι διὰ τοῦ λουτροῦ τοῦ βαπτίσματος· οἱ ἐξαγορεύσαντες καὶ ἔτι ἐν ἐπιτιμίοις ὄντες.

προσφώνησις, Ἵνα πάντες εὔξωνται ὅπως τύχωσι τῆς ἀφέσεως, καὶ τοῦ ζωοποιοῦ θύματος διὰ τοῦ βαπτίσματος. Οἱ πιστοὶ ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν. οἱ φωτισθέντες καὶ ἀμνησίκακοι ὄντες, οἱ καὶ ἀνεχόμενοι τῆς ἀδικίας, καὶ συγχωρεῖν καὶ εὐεργετεῖν τοῖς ἀδικοῦσιν, εὔξασθε ὑπὲρ τῶν κατηχουμένων, ἤγουν ὑπὲρ τῶν ἀμυήτων, ὥς φησιν ὁ ἀπόστολος, Οἱ δυνατοὶ τῶν ἀδυνάτων τὰ βάρη βαστάζετε. Κατηχήσῃ αὐτοὺς τὸν λόγον τῆς ἀληθείας. διδάξῃ αὐτοὺς τὰ τοῦ σωτῆρος τοῦ δι' ἡμᾶς ἐνανθρωπήσαντος. Ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης. φανερώσῃ αὐτοῖς τὴν δήλωσιν τῶν ἀγαθῶν πραγμάτων. Ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ. ἀξιώσῃ αὐτοὺς τῆς ζωοποιοῦ θυσίας.

Οἱ κατηχούμενοι, τὰς κεφαλὰς ὑμῶν τῷ κυρίῳ κλίνατε. οἱ ἀμύητοι, τὰς αἰσθήσεις καὶ τὰς καρδίας ἁγνὰς πρὸς τὸν κύριον νείματε.

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον. ἵνα φωτισθέντες, καὶ τῆς ἀφέσεως, καὶ τῆς μυστικῆς ζωοθυσίας τυχόντες, δοξάζωσί σε σὺν ἡμῖν, τὸν πατέρα καὶ υἱὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

τὸ εἰλητὸν σημαίνει τὴν σινδόνα, ἐν ᾗ ἐνειλίχθη τὸ σῶμα τοῦ Χριστοῦ ἐκ τοῦ σταυροῦ καταβάν, καὶ ἐν μνημείῳ τεθέν. Ὅσοι κατηχούμενοι προσέλθετε. πᾶς ἀμύητος καὶ ἀφώτιστος, καὶ ὢν ἐν ἐπιτιμίοις ἔτι, σπεύσατε, ἥκατε, φωτίσθητε, καὶ τῇ ψυχοτρόφῳ τραπέζῃ προσπελάσατε, καὶ τὸ ἱερουργούμενον, ἁγναῖς καρδίαις καὶ ψυχαῖς βλέψατε, ἵνα ὡς οἱ πιστοὶ ἦτε, καὶ μὴ ἦτε ἔτι κατηχούμενοι, ἀκμὴν καὶ ἀκμὴν μετ' ἠρέμου νοὸς τοῦ κυρίου δεηθῶμεν. ὁ χερουβικὸς ὕμνος ἐμφαίνει διὰ τῆς τῶν διακόνων προοδοποιήσεως, καὶ τῆς τῶν ῥιπιδίων, ἤτοι τῆς τῶν σεραφικῶν ἀπεικονισμάτων ἱστορίας, τὴν εἴσοδον τῶν ἁγίων καὶ δικαίων πάντων συνεισερχομένων μετὰ τοῦ ἁγίου τῶν ἁγίων ὑπάρχοντος, συνεισπορευομένων ἔμπροσθεν χερουβικῶν δυνάμεων, καὶ ἀγγελικῶν στρατιῶν, καὶ χορῶν ἀσωμάτων καὶ ἀΰλων τάξεων ἀοράτως προτρεχουσῶν, καὶ ὑμνουσῶν καὶ δορυφορουσῶν ἔμπροσθεν τοῦ μεγάλου βασιλέως Χριστοῦ, προερχομένου εἰς μυστικὴν θυσίαν, καὶ ὑπὸ χειρῶν ἐνύλων βασταζομένου, μεθ' ὧν καὶ τὸ πνεῦμα τὸ ἅγιον συνεισπορεύεται

ἔμπρο

ἐμπεριεχθεὶς ἐν τῇ ἀναιμάκτῳ θυσίᾳ καὶ λογικῇ λειτουργίᾳ, νοερῶς θεωρούμενον, πυρὶ καὶ θυμιάματι καὶ ἀτμίδι καπνοῦ εὐώδους· τοῦ μὲν πυρὸς, δηλοῦντος τὴν θεότητα· τῆς δὲ ἀτμίδος τοῦ εὐώδους καπνοῦ, τὴν προσοῦσαν αὐτοῦ, ἐπελθόντος ἀοράτως καὶ εὐωδιάσαντος ἡμᾶς, διὰ τῆς μυστικῆς καὶ ζωοθύτου καὶ ἀναιμάκτου λατρείας καὶ ὁλοκαρπώσεως. ἀλλὰ καὶ αἱ νοεραὶ δυνάμεις, καὶ αἱ χοροστασίαι τῶν ἀγγέλων, ὁρῶσαι τὴν διὰ τοῦ σταυροῦ καὶ τοῦ θανάτου χριστοῦ τετελεσιουργημένην αὐτοῦ οἰκονομίαν· λοιπὸν δὲ καὶ τὴν κατὰ τοῦ θανάτου νίκην γενομένην, καὶ τὴν ἐν τῷ ᾅδῃ κάθοδον, καὶ τριήμερον ἀνάστασιν, καὶ ἀνάβασιν αὐτοῦ, σὺν ἡμῖν βοῶσιν ἀοράτως, τὸ ἀλληλούϊα.

ὁρῶσαι αἱ νοεραὶ δυνάμεις, τὸ χερουβικὸν ἐρχόμενον μετὰ τῶν τιμίων δώρων, ἤγουν τὸ σῶμα τοῦ κυρίου Ἰησοῦ, ἀπὸ τοῦ κρανίου ἕως τοῦ τάφου, σὺν ἡμῖν ἀοράτως βοῶσι τὸν ὕμνον, τὸ ἀλληλούϊα.

Ἰεζεκιὴλ γάρ φησι· Καὶ τὰ χερουβὶμ εἱστήκει ἐκ δεξιῶν τοῦ οἴκου, ἐν τῷ εἰσπορεύεσθαι τὸν ἄνδρα τὸν ἐνδεδυμένον τὴν στολήν· καὶ ἡ νεφέλη ἐπλήρωσε τὴν αὐλὴν τὴν ἐσωτέραν· καὶ ἀπῆρεν ἡ δόξα κυρίου ἀπὸ τῶν χερουβὶμ εἰς τὸ αἴθριον τοῦ οἴκου· καὶ ἐνέπλησε τὸν οἶκον ἡ νεφέλη· καὶ ἡ αὐλὴ ἐπλήσθη τοῦ φέγγους τῆς δόξης κυρίου. ἔστι δὲ ἡ ἁγία τράπεζα κατὰ μίμησιν τοῦ ἐνταφιασμοῦ τοῦ χριστοῦ, καθ' ἣν ὁ Ἰωσὴφ καθελὼν τὸ σῶμα ἀπὸ τοῦ σταυροῦ, ἐνείλησε σινδόνι καθαρᾷ, καὶ ἀρώμασι καὶ μύροις αὐτὸ ἀλείψας, ἐβάστασε σὺν Νικοδήμῳ, καὶ ἔθηκεν αὐτὸ ἐν μνημείῳ καινῷ λελατομημένῳ ἐκ πέτρας, ὅπερ ἐστὶν ἀντίτυπον τοῦ ἁγίου μνήματος ἐκείνου, τὸ θυσιαστήριον, καὶ τὸ καταθέσιον, δηλαδὴ ἐν ᾧ ἐτέθη τὸ ἄχραντον καὶ πανάγιον σῶμα, ἡ ἁγία τράπεζα. Ἄλλως. Ἡ τῶν ἁγίων μετάθεσις ἀπὸ τῆς προθέσεως, τοῦ σώματος φημὶ τοῦ δεσποτικοῦ καὶ τοῦ αἵματος, καὶ ἡ τούτων πρὸς τὸ θυσιαστήριον εἴσοδος, καὶ τὸ χερουβικὸν, τὴν ἀπὸ Βηθανίας πρὸς τὴν Ἱερουσαλὴμ δηλοῖ τοῦ κυρίου εἴσελευσιν· τηνικαῦτα γὰρ καὶ ὁ πλεῖστος ὄχλος, καὶ οἱ τῶν ἑβραίων παῖδες, ὡς βασιλεῖ καὶ νικητῇ τοῦ θανάτου, τὸν ὕμνον ἀνέφερον αἰσθητῶς νοητῶς [illegible] τῶν χερουβὶμ [illegible] ὕμνον, καὶ τὰ σκῆπτρα καὶ τὰς ῥομφαίας, ὡς σύμβολα βασιλέως, ἐπιφέροντες οἱ διάκονοι. αἱ ῥιπίδες δὲ, εἰς τύπον εἰσὶ τῶν χερουβίμ. ὁ δὲ χερουβικὸς ὕμνος ᾀδόμενος, προσκαλεῖται πάντας, ἐντεῦθεν καὶ μέχρι τέλους τῆς ἱερουργίας προσεκτικώτερον ἔχειν τὸν νοῦν, πᾶσαν βιωτικὴν μέριμναν κάτωθεν ἀφεμένους, ὡς βασιλέα μέγαν μέλλοντες ὑποδέχεσθαι διὰ τῆς κοινωνίας. ἡ δὲ πρὸς τὴν ἁγίαν τράπεζαν τῶν ἁγίων ἀπόθεσις, μίμησιν ἔχει, τηνικαῦτα μὲν τοῦ ἐσταυρωμένου αἰωρέω· μετ' ὀλίγον δὲ, ἡ αὐτὴ καὶ τὴν ἐπὶ τοῦ σταυροῦ ὕψωσιν. ἐν δὲ τῷ τέλει τὴν ταφὴν εἰκονίζει, καὶ τὴν ἀνάστασιν, καὶ τὴν ἐκεῖθεν ἀνάληψιν· ἵνα γὰρ μὴ τὸ καθ' ἕκαστον τῶν τότε γενομένων, τὴν ὥραν, καὶ τὸν καιρὸν, καὶ τὸν τόπον ἀφορίζοντες οἱ ἅγιοι πατέρες, ἔτι καὶ

τι. ἀλ.

ἐσταυρωμένου τι. ἀλ.

μεταθέσεων ἑτέρων καὶ θυσιαστηρίων πλειόνων δεηθῶσι, κἂν τούτων μιμητὸν τὸ τῆς ἐκκλησίας κατασκευῆς μυστήριον. τί ἄρα σκοποῦσιν, ἢ προσάπτουσιν· ὡς λίαν μεγαλοπρεπὲς, καὶ τοῦ ἐν αὐτοῖς οἰκοῦντος πνεύματος ἄξιον, τῆς θεουργοῦ δημιουργίας τὸν τρόπον ἐμιμήσαντο, ὡς οἷόν τε ἀνθρώπῳ μιμεῖσθαι τὰ θεῖα καὶ κατεργάζεσθαι· καὶ ὡς οὐρανὸν μὲν, τὸ ἐπιδύσωθεν τῆς ἁγίας τραπέζης ὀρόφιον ἀπαρτίζουσιν· ὡς ὅλην δὲ γῆν δείξοντες, τὸ ὑπὸ τεσσάρων κιόνων τοῦ εἰρημένου κιβωρίου συγκλειόμενον ἢ περιγραφόμενον ἱερὸν ἔδαφος· ἐν ᾧ πληροῦται καὶ ὁ προφητικὸς λόγος ὁ λέγων· Εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς ὁ θεός· εἰ μὴ γὰρ οὕτω ταῦτα εἴη, πῶς αὖ οἱ ἐν Ἰνδίᾳ τελοῦντες τὸ μέγα τοῦτο μυστήριον, καὶ πιστεύοντες αὐτὸ ἐκεῖνο τὸ σῶμα τοῦ χριστοῦ καὶ θεοῦ ἡμῶν εἶναι, σταυρούμενον, καὶ θαπτόμενον, καὶ ἀνιστάμενον. ταύτην τὴν σωτηρίαν ἐν μέσῳ τῆς γῆς φήσαιεν αὖ ἐργάσασθαι τὸν δεσπότην. πῶς δὲ οἱ τὰς βενετικὰς νήσους οἰκοῦντες πιστοὶ τὸ αὐτὸ μεταποιουμένης διανοίας εἰσδέξονται, πάντων ὁμολογούντων ἐν Ἱεροσολύμοις περιγεγράφθαι τῆς γῆς τὸ μεσαίτατον· ἢ πάντως ὅτι μεθόριον οὐρανοῦ τε καὶ γῆς οὖσα ἡ ἁγία τράπεζα, καὶ αὖθις κατὰ τὸ μέσον τοῦ οὐρανίου κύκλου ὑφισταμένη, καὶ τὸν μέσον τῶν κιόνων, τῶν κύκλῳ ῥιπιδίων κατὰ τὴν στάσιν ἔχουσα τόπον, ὅπου περ αὖ εἴη αὕτη ἐν μέσῳ τῆς γῆς τὴν σωτηρίαν ἐργάζεσθαι ἐπεμφαίνει. ἔνθα δὴ καὶ πάντα τὰ τοῦ πάθους ὑπέστη ὁ κύριος, τὴν προδοσίαν, τὴν κρίσιν, τὰ περὶ τοῦ σταυροῦ, καὶ μετὰ τὸν σταυρόν. εἰκότως οὖν οἱ ἅγιοι πατέρες, οὕτω τελεῖσθαι ταῦτα καὶ προσφέρεσθαι ἐδογμάτισαν.

ὁ δίσκος ἐστὶν ἀντὶ τῶν χειρῶν Ἰωσὴφ καὶ Νικοδήμου, τῶν κηδευσάντων τὸν χριστόν. ἑρμηνεύεται δὲ δίσκος, ἔνθα ὁ χριστὸς ἐπιφέρεται, κύκλος οὐρανοῦ, ἐμφαίνων ἐν μικρᾷ περιγραφῇ, τὸν νοητὸν ἥλιον, χριστὸν ἐν τῷ ἄρτῳ ὁρώμενον. τὸ δὲ ποτήριόν ἐστιν, ἀντὶ τοῦ σκεύους, ὃ ἐδέξατο τὸ ἐκβλυσθὲν αἷμα τῆς κεντηθείσης ἀχράντου πλευρᾶς, καὶ χειρῶν καὶ ποδῶν τοῦ χριστοῦ ἀπομύρισμα. ποτήριον δὲ πάλιν ἐστὶ κατὰ τὸν κρατῆρα, ὃν γράφει κυρίως ἡ σοφία, ἤτοι ὁ υἱὸς τοῦ θεοῦ· ἐκέρασε γὰρ τὸ αἷμα αὐτοῦ, ἀντὶ τοῦ οἴνου ἐκείνου, καὶ προσέθηκεν ἐν τῇ ἁγίᾳ τραπέζῃ, λέγων τοῖς πᾶσι· Πίετε τὸ αἷμά μου ἀντὶ οἴνου κεκερασμένον ὑμῖν, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

Χριστὸς ἡ τοῦ θεοῦ σοφία καὶ δύναμις, τὸν ἑαυτοῦ σῶμα ᾠκοδόμησεν, ἐξ ἀπειράνδρου μητρὸς ἁγνῆς καὶ παρθένου, τῆς προκαθαρθείσης ψυχῇ καὶ σώματι· καὶ ὁ λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν. καὶ ὑπήρεισε στύλους ἑπτὰ, τὴν τοῦ ἁγίου πνεύματος ἑβδομάδα· ὥς φησιν ὁ Ἡσαΐας· Ἐπαναπαύσεται γὰρ ἐπ᾽ αὐτὸν ἑπτὰ πνεύματα, ἤγουν αἱ ἑπτὰ ἐνέργειαι τοῦ πνεύματος· ἐν οἷς εἰσὶν ἀντίθετα τῆς πονηρίας ὁμοίως. Ἔσφαξε τὰ ἑαυτῆς θύματα, τοὺς προφήτας τοὺς κατὰ καιρὸν ἀναιρεθέντας παρὰ τῶν ἀπίστων παρὰ τῆς ἀληθείας, καὶ βοῶντας, Ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν· ἐλογί-

σθημεν

-θησόμενον ὡς πρόβατα σφαγῆς. Καὶ ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον εἰς τὴν ὑπεραγίαν παρθένον, τὴν ἑαυτοῦ θεότητα, ἑνώσας τῇ σαρκὶ ὡς οἶνον ἄκρατον· ὁ σωτὴρ γὰρ ἐγεννήθη ἐξ αὐτῆς ἀσυγχύτως καὶ ἀσυνδιαστάτως, θεὸς καὶ ἄνθρωπος. Καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς τράπεζαν, τὴν ἐπίγνωσιν τῆς ἁγίας τριάδος καταγγελομένην. Ἀπέστειλε δὲ τοὺς ἑαυτῆς δούλους, εἰς τὸν σύμπαντα κόσμον προσκαλουμένους πάντα τὰ ἔθνη εἰς τὴν ἐπίγνωσιν τοῦ θεοῦ, καὶ τοῖς ἐνδεέσι φρενῶν εἶπε, τοῖς μήπω κεκτημένοις τοῦ ἁγίου πνεύματος τὴν χάριν, Ἔλθετε, φάγετε τὸν ἐμὸν ἄρτον, καὶ πίετε οἶνον, ὃν κεκέρακα ὑμῖν. τὴν θείαν αὐτοῦ σάρκα, καὶ τὸ ἅγιον αὐτοῦ αἷμα, δέδωκεν ἡμῖν ὁ Χριστὸς ἐσθίειν καὶ πίνειν εἰς ἄφεσιν ἁμαρτιῶν. Τὸ δισκοκάλυμμά ἐστιν, ἀντὶ τοῦ σουδαρίου, ὃ ἦν ἐπὶ τοῦ προσώπου αὐτοῦ, περικαλύπτον αὐτὸν ἐν τῷ τάφῳ.

Τὸ δὲ καταπέτασμα, ἤγουν ὁ ἀήρ, ἐστι καὶ λέγεται ἀντὶ τοῦ λίθου οὗ ἠσφάλισε τὸ μνημεῖον ὁ Ἰωσήφ, ὅνπερ ἐσφράγισεν ἡ τοῦ Πιλάτου κουστωδία.

Ἰδοὺ ἐσταύρωται ὁ Χριστός· τέθαπται ἡ ζωή· ἠσφαλίσθη ὁ τάφος· ἐσφράγισται ὁ λίθος. Ἡ δὲ νίψις τῶν χειρῶν, ἀντὶ τοῦ νιψάμενος, καὶ ἀθῷός εἰμι φωνήσαντος. καθ' ἡμᾶς δὲ τοὺς ἱερεῖς δηλοῖ, ἵνα καθαρεύοντες τὸ συνειδὸς, νοῦν καὶ διάνοιαν, ἅτινά εἰσι χεῖρες τῶν ἡμετέρων ψυχῶν, μετὰ φόβου καὶ πραότητος καὶ ἐπιμελείας πάσης, προσίωμεν τῇ ἁγίᾳ τραπέζῃ.

Νίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου. προσαθήσω τοῖς καθαροῖς ἱερεῦσι, τὰς δύο φύσεις μου· τὰς τῆς ψυχῆς χεῖρας λέγω, νίψομαι ἐν ἁγιότητι. Καὶ κυκλώσω τὸ θυσιαστήριόν σου κύριε· ὅτι περ ἀεὶ τῷ θεῷ προσεδρεύειν ὀφείλομεν, οὐδαμοῦ πρὸς τὴν ἄσωτον ἁμαρτίαν ἐμπίπτοντες. Καὶ αὖθις·

Λειτουργήσω σοι καὶ μεταδώσω τῷ πιστῷ λαῷ τοῦ ἀκοῦσαί με φωνὴν αἰνέσεώς σου, τὴν ἐκφώνησιν δηλοῖ, τὸ, Τὰ σὰ ἐκ τῶν σῶν σοι προσφέροντες.

Καὶ αὖθις· Τὴν ἀνάγνωσιν λέγει· Ἀκοῦσαι καὶ διδάξαι τὸν αὐτὸν λαὸν, ἤγουν τὸν πιστόν· καὶ ἀκούσαντες φυλάξομεν ἅμα τὰς ἐντολάς σου, καὶ διηγήσομαι πάντα τὰ θαυμάσιά σου, τὰς μυστικὰς λέγω εὐχὰς τῆς φιλανθρωπίας. Κύριε ἠγάπησα εὐπρέπειαν οἴκου σου· τὴν ἐκκλησίαν λέγει. εὐπρέπεια δὲ τῆς ἐκκλησίας, ὁ πιστὸς λαός ἐστι.

Καὶ τόπον σκηνώματος δόξης σου. τὴν καθαρὰν μήτραν λέγει τῆς παρθένου, ἐν ᾗ ἐσκήνωσε. Καὶ αὖθις. Τὸν τόπον ἔνθα σὺ κατοικεῖς. τὴν δέησιν δὲ ἀποπληροῦντες ὑπὲρ τῶν ἐνεχθέντων τιμίων δώρων λέγει. Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης δεσποίνης ἡμῶν θεοτόκου, τοῦ τε προδρόμου, καὶ ἀποστόλων καὶ πάντων τῶν ἁγίων τὸν βίον καὶ τὰς πράξεις μαθόντες, οὕτω καὶ ἡμεῖς ἕτερος ἑτέρου ἀμιλληθέντες, τὴν ζωὴν ἡμῶν ἅπασαν μετὰ τῶν ἁγίων παραδώσωμεν τῷ θεῷ σὺν ἔργοις ἀγαθοῖς.

Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, εἰς τοὺς αἰῶ- 94
νας τῶν αἰώνων. Διὰ τῆς συμπαθείας τοῦ υἱοῦ σου τῆς εἰς ἡμᾶς, εὐλογου-

μένῳ σὺν τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας. Εἰρήνη πᾶσιν. ὁμογνωμοσύνην καὶ ἀγάπην καὶ ταυτότητα ἀλλήλοις συνάπτοντες, τοῦ κυρίου τὴν μίμησιν αὐτοὶ ἀντιλαμβανόμενοι, εἰρήνην τὴν οἰκείαν ἀφιέντος, καὶ διδόντος, καὶ ἐκφωνοῦντος, ἤρεμοι ἔννοοι πάντες σῳζόμενοι.

Καὶ τῷ πνεύματί σου. τουτέστι τὴν πρὸς σὲ ἀδιαίρετον ἕνωσιν δὸς ἡμῖν, ἵνα τῷ πνεύματι εἰρηνεύοντες, ἀχώριστοι τυγχάνωμεν.

Ἀγαπήσωμεν ἀλλήλους. τὰς ψυχὰς ἀλλήλων συνδέσμῳ συνάψαντες, καὶ οὕτω δυνησόμεθα, μετὰ παρρησίας ἀπολαῦσαι τῆς προκειμένης τραπέζης. τὸ Ἀγαπήσωμεν ἀλλήλους, δηλοῖ καὶ τὴν πρὸς πάντας ἀγάπην, καὶ εἰς ἑαυτοὺς ἀλλήλους, καὶ τὴν τοῦ θεοῦ γνωσομένην ὁμόνοιαν, καὶ τὴν τῶν αἰσθήσεων πρόοδον, καὶ τὴν τῶν νοητῶν φανέρωσιν, καὶ τὴν τοῦ ἁγίου συμβόλου τῆς πίστεως, καὶ τὴν καινὴν τοῦ θείου μυστηρίου διαδοχήν.

Τὰς θύρας, τὰς θύρας, ἐν σοφίᾳ. τὰς ἐνθυμήσεις τῆς διανοίας ἡμῶν ἄρωμεν ἀπὸ τῶν γηΐνων ἔργων καὶ ἐνθυμημάτων.

Πρόσχωμεν ἐν τῇ σοφίᾳ, ἤγουν ἐν τῷ υἱῷ καὶ λόγῳ τοῦ θεοῦ, καὶ εἰς τὴν σοφίαν τοῦ θείου συμβόλου, τοῦ παρὰ τῶν ἁγίων καὶ θεοφόρων πατέρων ἐκτεθέντος, ἐν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ προσέξωμεν. τουτέστι, τοῦ Πιστεύω εἰς ἕνα θεὸν πατέρα παντοκράτορα· καὶ ἔχοντες καὶ συνιέντες μετ' ἠρέμου νοὸς προσέλθωμεν τῇ μυστικῇ ζωοθυσίᾳ. τὸ θεῖον τῆς ὀρθοδόξου πίστεως σύμβολον λέγεσθαι διατέτακται, ἵν' ἐκ τούτου γνώριμον εἴη τοῖς πᾶσιν, ὅτι ὁ εἷς τῆς ἁγίας τριάδος ὁ μονογενὴς υἱὸς καὶ λόγος τοῦ προανάρχου πατρὸς, ἐστὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἄνθρωπος γέγονε, σαρκωθεὶς ἐκ τῆς ἁγίας παρθένου, σταυρωθεὶς, καὶ ταφεὶς, καὶ ἀναστὰς καὶ κατὰ τὰς θείας ἐντολὰς, τὰ τελούμενα ταῦτα πράττομεν ἵνα μὴ λόγοις μόνον, ἀλλὰ καὶ ἔργοις εἰσαεὶ τῆς σωτηρίας ἡμῶν ἐνεργουμένης, οὕτω φαινώμεθα ζῶντες ὁμοῦ καὶ πολιτευόμενοι. καὶ τὰ μὲν πάθη, σαρκὶ τοῦτον ὑπομεμενηκέναι ὁμολογοῦμεν· ἀπαθῆ δὲ τούτου φυλάττεσθαι τὴν θεότητα ἅμα δὲ, ἵνα τῇ ἐκφωνήσει τοῦ θείου τοῦδε συμβόλου, καὶ οἱ ἀγνοοῦντες καὶ ἀμαθεῖς, τούτου ἀκούοντες ἀδελφοὺς, διὰ πάντες ἐν γνώσει ἔχωσι τὰ ἐκφορὰ τοῦ μυστηρίου τῆς πίστεως, καὶ ταῖς τῶν πολλῶν ἀκοαῖς οὐκ ἀπόρρητα.

Ἡ δὲ τῶν θυρῶν κλεῖσις, καὶ ἡ ἐπάνωθεν τούτων ἐξάπλωσις τοῦ καταπετάσματος, ὡς οἱ ἐν τοῖς μοναστηρίοις εἰώθασι, καὶ ἡ διὰ τοῦ λεγομένου ἀέρος τῶν θείων ἐπικάλυψις, ὡς οἶμαι, τὴν νύκτα ἐκείνην δηλοῖ, καθ' ἣν ἡ τοῦ μαθητοῦ προδοσία προέβη, καὶ ἡ πρὸς Καϊάφαν ἀπαγωγὴ, καὶ ἡ πρὸς Ἄνναν παράστασις, καὶ αἱ ψευδομαρτυρίαι. ναὶ μὴν καὶ οἱ ἐμπαιγμοὶ, καὶ οἱ κολαφισμοὶ, καὶ τἄλλα ὅσα τηνικαῦτα συμβέβηκε· διὰ τί ἄλλο γὰρ τὸ κά-
ιχ λυμμα τοῦτο ἀὴρ ὠνομάσθη, ἢ πάντως διὰ τὸ τὸν ἐπικαλυπτόμενον παρ' αὐτοῦ σκοτεινὸν ἀέρα, τῆς εἰρημένης νυκτὸς εἰκονίζεσθαι, καθ' ἣν καὶ Γέ-

ρος

τρος ὁ μέγας, ἔξω τῆς θύρας ἑστὼς, πρεσβείᾳ τοῦ ἐγνωσμένου τῷ ἀρχιερεῖ μαθητοῦ, ἔνδον ἐγένετο τῆς αὐλῆς, ἔνθα καὶ ἡ παιδίσκη τούτῳ ἐντυχοῦσα, καὶ οἱ παρὰ τῇ πυρᾷ παρεστῶτες, ἰδόντες, διήλεγχον· καὶ τὰ λοιπὰ τούτῳ ἐπηκολούθησαν, ὅσα πρὸς τὸν κρημνὸν τῆς ἀρνήσεως κατήπειγον· δι' ἃ τὸ πλῶμα συγχωρηθέντα, ἥττονα γίνεσθαι τῆς ἐπάρσεως, ἢ τῆς καυχήσεως.

αἰρομένου δὲ τοῦ ἀέρος; καὶ τοῦ καταπετάσματος συστελλομένου τὴν θύραν τε ἀνοιγομένων, ἡ πορεία διατυποῦται καθ' ἣν ἀπήγαγον αὐτὸν, καὶ παρέδωκαν Ποντίῳ Πιλάτῳ τῷ ἡγεμόνι. Προέρχεσθαι ὁ ἱερεὺς; συνέρχεται ταῖς ἀγγελικαῖς δυνάμεσιν, οὐκέτι ὡς ἐν ἐπιγείῳ τόπῳ ἑστώς· ἀλλ' ὡς ἐν τῷ ἐπουρανίῳ θυσιαστηρίῳ, ἔμπροσθεν τοῦ φοβεροῦ θυσιαστηρίου τοῦ θρόνου τοῦ θεοῦ παριστάμενος, θεωρεῖ τὸ μέγα καὶ ἀνερμήνευτον καὶ ἀνεξιχνίαστον τοῦ χριστοῦ μυστήριον. ὁμολογεῖ τὴν χάριν, κηρύττει τὴν ἀνάστασιν, σφραγίζει τὴν πίστιν τῆς ἁγίας τριάδος· προέρχεται λευχειμονῶν ὁ ἄγγελος, τὸν λίθον τοῦ τάφου ἀποκυλίων τῇ χειρί· δεικνύων τῷ σχήματι, βοῶν τῇ φωνῇ ἐντρόμῳ· καὶ διὰ τοῦ διακόνου κηρύττων, τὴν τριήμερον ἔγερσιν, καὶ ὑψῶν τὸ καταπέτασμα, φωνεῖ ὁ διάκονος λέγων· Στῶμεν καλῶς, στῶμεν μετὰ φόβου. ἰδοὺ πρώτη ἡμέρα. Πρόσχωμεν τῇ ἁγίᾳ ἀναφορᾷ. ἰδοὺ δευτέρα ἡμέρα. Εν εἰρήνῃ προσφέροντες. ἰδοὺ τρίτη ἡμέρα. καὶ ἄλλως.

Στῶμεν καλῶς. τὰς διανοίας ἡμῶν στερεωμένας ἔχοντες, ἀκούσωμεν τῆς μυστικῆς ζωοθυσίας. ὁ λαὸς βοᾷ τὴν τῆς ἀναστάσεως τοῦ χριστοῦ χάριν. Ελαιον εἰρήνης, θυσίαν αἰνέσεως. ὁ δὲ ἱερεὺς διδάσκει τὸν λαὸν, ἣν διὰ τῆς χάριτος τοῦ χριστοῦ μεμάθηκε τριαδικὴν θεογνωσίαν. Η χάρις τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος, εἴη μετὰ πάντων ἡμῶν. ἄλλοι δὲ ἱερεῖς προσφέρουσιν οὕτως· Η χάρις τοῦ κυρίου ἡμῶν Ιησοῦ χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ θεοῦ καὶ πατρὸς, καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος εἴη μετὰ πάντων ἡμῶν.

Ο λαὸς, συνομολογεῖ, καὶ συνεύχεται λέγων; Καὶ μετὰ τοῦ πνεύματός σου, ὡς ἀνωτέρω ἔφημεν, οὕτω πράξωμεν. ἢ οὕτως. ἐὰν πράξωμεν ὡς ἀνωτέρω ἔφημεν, ἡ χάρις καὶ ἡ ἀγάπη τοῦ κυρίου μετὰ πάντων ἡμῶν· αὐτὸς γὰρ διὰ τὴν ἀγάπην αὐτοῦ, ἣν εἰς ἡμᾶς ἐνεδείξατο, τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον ἀπέστειλε, καὶ τὸ σῶμα αὐτοῦ ἱλασμὸν εἰς τὴν ζωοθυσίαν δέδωκε, καὶ τὸ αἷμα αὐτοῦ, τὸ ῥύσιον ποτήριον εὐφροσύνης. εἶτα πάντας ὁ ἱερεὺς ἀναβιβάζων εἰς τὴν ἄνω Ιερουσαλὴμ τὴν ἐπουράνιον, ἐν ᾗ ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν πρὸ τῆς ἐκπτώσεως, ἐν ταῖς αὐλαῖς σου Ιερουσαλὴμ, εἰς τὸ ὄρος τὸ ἅγιον αὐτοῦ, βοᾷ, Βλέπετε. Ανω σχῶμεν τὰς καρδίας. οἱ πάντες 95
διαμαρτύρονται λέγοντες· Εχομεν πρὸς τὸν κύριον. ὁ ἱερεύς.

Εὐχαριστήσωμεν τῷ κυρίῳ. βλέπετε, ἄνω σχῶμεν τὰς καρδίας, ἀπὸ τῶν γηΐνων ἄρωμεν τὰς αἰσθήσεις εἰς τὸν ἄνω βασιλέα, καὶ τὰ αὐτῷ ἀρεστὰ πράξωμεν. Εὐχαριστήσωμεν τῷ κυρίῳ· ἤγουν τῷ δόντι ἑαυτὸν λύτρον ὑπὲρ

ἡμῶν καὶ ἀντάλλαγμα. Εὐχαριστήριον ὕμνον ἀπονείμωμεν τῷ κυρίῳ· καὶ τὴν ἐφ' ἧς ἐσώθημεν ἐλπίδα, εὐχαριστίαν καὶ δόξαν ἀπονείμωμεν τῷ κυρίῳ. Ὅτι ἄξιον καὶ δίκαιόν ἐστι, φησὶν ὁ λαός. Τὸ καταπέτασμα λέγεται διὰ τὸν λέγοντα ἀπόστολον, Ὅτι ἔχομεν παῤῥησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων ἐν τῷ αἵματι Ἰησοῦ χριστοῦ, ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν σωτηρίας, καὶ πρόσφατον καὶ ζῶσαν, διὰ τοῦ καταπετάσματος, τουτέστι τῆς σαρκὸς αὐτοῦ, καὶ ἱερέα μέγαν ἐπὶ τὸν οἶκον τοῦ θεοῦ. Εἶτα προσέρχεται ὁ ἱερεὺς μετὰ παῤῥησίας τῷ θρόνῳ τῆς χάριτος τοῦ θεοῦ, μετὰ ἀληθινῆς καρδίας, ἐν πληροφορίᾳ πίστεως, ἀπαγγέλλων τῷ θεῷ, καὶ συλλαλῶν μόνος αὐτῷ, οὐκέτι διὰ νεφέλης, ὡς ποτὲ Μωϋσῆς ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, ἀλλ' ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν κυρίου κατοπτρίζων· καὶ μεμύηται τὴν τῆς ἁγίας τριάδος θεογνωσίαν καὶ πίστιν, καὶ μόνος μόνῳ προσλαλεῖ θεῷ μυστήρια, μυστήρια ἀπαγγέλλων ἐν μυστηρίοις, τὰ κεκρυμμένα πρὸ τῶν αἰώνων καὶ ἀπὸ γενεῶν, νῦν δὲ φανερωθέντα ἡμῖν διὰ τῆς ἐπιφανείας τοῦ υἱοῦ τοῦ θεοῦ, ἅπερ ἡμῖν ἐξηγήσατο ὁ μονογενὴς υἱὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρός· καθὼς γὰρ ἐλάλησεν ὁ θεὸς τῷ Μωϋσῇ ἀοράτως, καὶ ὁ Μωϋσῆς πρὸς τὸν θεόν· οὕτω καὶ ὁ ἱερεὺς, μέσον τῶν δύο χερουβὶμ ἑστὼς ἐν τῷ ἱλαστηρίῳ, καὶ κατακύπτων διὰ τὴν ἄστεκτον καὶ ἀθεώρητον τῆς θεότητος δόξαν τε καὶ λαμπρότητα, τὴν οὐράνιον λατρείαν νοερῶς ὁρᾷ, καὶ μυεῖται τῆς ζωαρχικῆς καὶ μοναρχικῆς ὑπερουσίου τριάδος τὴν θείαν ἔλλαμψιν, τοῦ μὲν θεοῦ καὶ πατρὸς, τὸ ἄναρχον καὶ ἀγέννητον· τοῦ δὲ υἱοῦ καὶ λόγου, τὸ συνάναρχον καὶ ὁμοούσιον, καὶ γεννητόν. τοῦ δὲ ἁγίου πνεύματος, τὸ συναΐδιον καὶ ὁμοφυὲς καὶ ἐκπορευτὸν, τριάδα ἁγίαν κατὰ τὴν τῶν ὑποστάσεων εἴτουν προσώπων ἀσύγχυτον ἀϊδιότητα· κατὰ δὲ τὴν τῆς φύσεως ἕνωσιν, ἀδιαίρετον καὶ ἀδιάστατον μίαν θεότητα, καὶ βασιλείαν καὶ δόξαν· καὶ νοερῶς ὁρᾷ καὶ βοᾷ τὴν τῶν σεραφικῶν δυνάμεων τρισάγιον δοξολογίαν, τῶν μὲν χερουβὶμ ἐπισκιαζόντων, καὶ τῶν σεραφὶμ κεκραγότων, μεθ' ὧν βοᾷ,

Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα. Εἶτα ὁ λαὸς, ἀντὶ τῶν χερουβικῶν δυνάμεων καὶ τετραμόρφων ζώων βοᾷ, Ἅγιος, ἅγιος, ἅγιος, κύριος σαβαώθ· τουτέστιν ὁ τρισάγιος καὶ εἷς θεὸς τῶν δυνάμεων. ὡσαννὰ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. ὡσαννά ἐστι, σῶσον δὴ, ὡς φησὶν ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα. ᾄδοντά ἐστιν ὁ ἀετός· βοῶντά ἐστιν, ὁ βοῦς· κεκραγότα, ὁ λέων· καὶ λέγοντα, ἄνθρωπος, λογικὸς ἄνθρωπος ἀντὶ τῶν χερουβικῶν δυνάμεων, καὶ τὰ τετράμορφα ζῶα βοᾷ, Ἅγιος, ἅγιος, ἅγιος· τουτέστιν ὁ τρισάγιος καὶ εἷς θεὸς τῶν δυνάμεων. Ἅγιος, ἅγιος, ἅγιος, κύριος σαβαώθ. ἅγιος μὲν ὁ πατὴρ, ὡς κυρίως ἅγιος καὶ μακάριος· ἐκείνη γὰρ καὶ μόνη μακαρία φύσις ἡ τοῦ θεοῦ. Ἅγιος ὁ υἱὸς, ὡς λόγος θεοῦ καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, καὶ ἐκ μαγείου τοῦ

ἀρχ-

ἀρχετύπου καὶ σφραγὶς ἀκίνητος, καὶ ἀπαράλλακτος φύσις· υἱὸς μὲν, ὡς ἐξ αὐτοῦ, ἤγουν ἐκ τοῦ πατρὸς, γεννηθεὶς ἀπαθῶς ὡς λόγος ἐκ νοῦ, καὶ ὡς δι' αὐτοῦ γεγενῆσθαι τὰ πάντα, τά τε ὁρατὰ καὶ τὰ ἀόρατα, κατὰ τὸν ἀπόστολον. τῷ γὰρ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, ὡς φησὶν ὁ Δαβίδ. ἅγιον δὲ καὶ τὸ πνεῦμα τὸ ἅγιον, τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, καὶ ἐν υἱῷ ἀναπαυόμενον, καὶ ἁγιάζον τὰ πάντα, καὶ τελεσιουργὸν, μὴ τελειούμενον ἁγιάζον, οὐχ ἁγιαζόμενον· ὥσπερ γὰρ ὁ ἥλιος, πηγὴ καὶ αἰτία τῆς τε ἀκτῖνος καὶ τῆς ἐλλάμψεως ὤν, διὰ δὲ τῆς ἀκτῖνος ἡμῖν ἡ ἔλλαμψις μεταδίδοται, καὶ αὕτη ἐστὶν ἡ φωτίζουσα ἡμᾶς, καὶ μετεχομένη ὑφ' ἡμῶν, οὕτω δὴ καὶ ὁ θεὸς καὶ πατὴρ, πηγὴ οὖσα καὶ αἰτία υἱοῦ καὶ ἁγίου πνεύματος· τὸ δὲ πνεῦμα ἐκ πατρὸς ἐκπορευόμενον δι' υἱοῦ διαδίδοται καὶ πεφανέρωται. τὸ δὲ εἰπεῖν κύριος, ἑνοῖ τὸν πατέρα, καὶ τὸν υἱὸν, καὶ τὸ πνεῦμα τὸ ἅγιον, καὶ ἓν τὰ τρία δείκνυσι.

Τρίτον ἅγιος τὰ σεραφὶμ λέγουσι, πληροῦντα τὴν δοξολογίαν εἰς τὸ κύριος σαβαὼθ, ἑνιαίαν φύσιν ὑμνοῦντα, τὴν ἁγίαν τριάδα, ὡς καὶ παρ' αὐτοῦ ἡμῖν μεμαρτύρηται τῶν ἁγίων σεραφίμ. ἡμεῖς δὲ οἱ πιστοὶ τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα, ἐν ᾧ τὴν τελειότητα ἐλάβομεν, σὺν ἀγγέλοις ἀσιγήτως θεολογοῦμεν δοξάζοντες· τρία γὰρ ταῖς ὑποστάσεσι τριάς· εἷς δὲ ὁ θεὸς, ᾧ καὶ ψάλλομεν· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, ὡσαννὰ ἐν τοῖς ὑψίστοις. τὸ ἑβραϊκὸν οὕτω κεῖται, ἀδωναΐ, ἐλωαΐ, ἀδωναΐ βαρούχ, πατήρ, ἀββὰθ, σεμνά, δενίδη, σαβαώθ. ὁ θεὸς τῶν δυνάμεων. ὁ θελήσας τυθῆναι τὸν μόσχον τὸν σιτευτὸν, καὶ μόσχος ὁ ἀεὶ θυόμενος ἑκὼν, καὶ ἀεὶ ζῶν, ὁ τελεσιουργῶν τὴν μυστικὴν θυσίαν, καὶ ἀεὶ ἐπιφοιτῶν διὰ τοῦ βαπτίσματος. ἅγιος εἶ βασιλεῦ τῶν αἰώνων, καὶ πάσης ἁγιωσύνης δοτήρ. σὺ εἶ ὁ παντοκράτωρ, ὁ σφραγίζων τὰ ἅγια δῶρα. ἅγιος δὲ καὶ ὁ μονογενής σου υἱὸς ὁ κύριος ἡμῶν Ἰησοῦς χριστὸς, ὁ πρὸ τῶν αἰώνων ἐκ σοῦ ἀρρήτως γεννηθείς. ἅγιον δὲ τὸ πνεῦμά σου τὸ πανάγιον, τὸ ἐρευνῶν τὰ πάντα καὶ τὰ βάθη σου τοῦ θεοῦ· δι' οὗ ἅπαντα τὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ἁγιάζεται. τὰ δὲ ῥιπίδια τὰ οἱ διάκονοι ἐμφαίνουσι τὰ ἑξαπτέρυγα σεραφὶμ, καὶ τὴν τῶν πολυομμάτων χερουβὶμ ἐμφέρειαν· καὶ γὰρ κατὰ τὴν τῶν ὑπερουρανίων καὶ ἐπουρανίων ὑπερκόσμιον καὶ νοερὰν τάξιν, οὕτω καὶ τὰ ἐπίγεια μιμοῦνται· καὶ γὰρ τὰ τετράμορφα ζῶα, ἀντιφωνητικῶς ἀλλήλοις ἀντιδεχόμενα, βοῶσι· τὸ μὲν πρῶτον ζῶον, τὸ εἰς ὁμοίωμα λέοντος βοᾷ, ἅγιος· τὸ δὲ δεύτερον, τὸ εἰς ὁμοίωμα μόσχου, βοᾷ, ἅγιος· τὸ δὲ τρίτον, τὸ εἰς ὁμοίωμα ἀετοῦ, βοᾷ ἅγιος. τὸ δὲ τέταρτον, τὸ εἰς ὁμοίωμα ἀνθρώπου, βοᾷ, κύριος σαβαώθ. ἐν τρισὶν ἁγιασμοῖς, εἰς μίαν θεότητα συννεύουσι κυριότητα καὶ δύναμιν, καθὼς ὁ προφήτης τεθέαται, Ὅτι εἶδε τὸν κύριον ἐπὶ θρόνου καθήμενον ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ τὰς σεραφικὰς δυνάμεις κύκλῳ ἑστώσας, καὶ ἐκ τῆς φωνῆς ἐπλήσθη ὁ οἶκος καπνοῦ. τὸ δὲ, Ἀπεστάλη ἓν τῶν σεραφὶμ, καὶ εἶχεν ἄνθρακα

ἐν τῇ χειρί, ὃν τῇ λαβίδι ἔλαβεν ἀπὸ τοῦ θυσιαστηρίου, σημαίνει τὸν ἱερέα τὸν κατέχοντα τὸν νοερὸν ἄνθρακα, Χριστόν, τῇ λαβίδι τῆς χειρὸς αὐτοῦ ἐν τῷ ἁγίῳ θυσιαστηρίῳ, καὶ ἁγιάζοντα καὶ καθαίροντα τοὺς προσδεχομένους καὶ μεταλαμβάνοντας. καὶ γὰρ εἰς τὰ οὐράνια καὶ ἀχειροποίητα καὶ ἅγια εἰσῆλθεν ὁ Χριστός, καὶ ἐνεφανίσθη ἐν δόξῃ τῷ τοῦ θεοῦ καὶ πατρὸς προσώπῳ, ὑπὲρ ἡμῶν γενόμενος ἀρχιερεὺς μέγας, διεληλυθὼς τοὺς οὐρανούς. καὶ ἔχομεν αὐτὸν παράκλητον πρὸς τὸν πατέρα, καὶ ἱλασμὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, ὡς καταρτισάμενος ἡμῖν τὸ ἅγιον καὶ συναΐδιον αὐτοῦ σῶμα, καὶ τὸ τίμιον αἷμα, λύτρον ὑπὲρ πάντων ἡμῶν, καθὼς ὁ αὐτὸς λέγει· Πάτερ ἁγίασον αὐτοὺς ἐν τῷ ὀνόματί σου, οὓς δέδωκάς μοι, ἵνα ὦσι καὶ αὐτοὶ ἡγιασμένοι ἐν ἀληθείᾳ· καὶ θέλω ἵνα ὅπου ἐγὼ εἰμί, κἀκεῖνοι ὦσι, καὶ θεωρῶσι τὴν δόξαν τὴν ἐμήν, ὅτι ἠγάπησα αὐτούς, καθὼς ἠγάπησας ἐμέ, πρὸ καταβολῆς κόσμου. αὐτὸς εἶπε, Τοῦτό ἐστι τὸ σῶμά μου, τοῦτο τὸ αἷμά μου· αὐτὸς καὶ τοῖς ἀποστόλοις ἐκέλευσε, καὶ δι' ἐκείνων ἁπάσῃ τῇ ἐκκλησίᾳ, τοῦτο ποιεῖν· Τοῦτο γάρ φησι ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· οὐκ ἂν ἐκέλευσε τοῦτο ποιεῖν, εἰ μὴ δύναμιν ἐνθεῖναι ἔμελλεν, ὥστε δύνασθαι τοῦτο ποιεῖν. καὶ τίς ἡ δύναμις; τὸ πνεῦμα τὸ ἅγιον τὸ ἐξ ὕψους τοὺς ἀποστόλους ὁπλίσασα, κατὰ τὸ εἰρημένον πρὸς αὐτοὺς ὑπὸ τοῦ κυρίου· Καθίσατε ἐν τῇ πόλει Ἱερουσαλήμ, ἕως ἂν ἐνδύσησθε δύναμιν ἐξ ὕψους. τοῦτο τὸ ἔργον ἐκείνης τῆς καθόδου· οὐ γὰρ κατελθὸν ἅπαξ, εἶτα ἀπολέλοιπεν ἡμᾶς, ἀλλὰ μεθ' ἡμῶν ἐστι, καὶ ἔσται μέχρι παντὸς εἰς τὸν αἰῶνα. τοῦτο διὰ τῆς χειρὸς τῶν ἱερέων καὶ τῆς γλώττης τὰ μυστήρια τελεσιουργεῖ. καὶ οὐ τὸ ἅγιον πνεῦμα μόνον ἔπεμψεν ὁ κύριος ἡμῶν· ὥστε μένειν μεθ' ἡμῶν, ἀλλὰ καὶ αὐτὸς ἐπηγγείλατο μένειν μεθ' ἡμῶν, ἕως τῆς συντελείας τοῦ αἰῶνος. ἀλλ' ὁ μὲν παράκλητος ἀόρατος πάρεστιν, ὅτι σῶμα αὐτὸς οὐκ ἐφόρεσεν, ὁ δὲ κύριος καὶ ὁρᾶται, καὶ ἁφῆς ἀνέχεται διὰ τῶν φρικτῶν καὶ ἱερῶν μυστηρίων, ὡς ἂν τὴν ἡμετέραν φύσιν δεξάμενος, καὶ φέρων εἰς τοὺς αἰῶνας. αὕτη ἡ τῆς ἱερωσύνης δύναμις· τοῦτο ὁ ἱερεύς. οὐ γὰρ ἅπαξ ἑαυτὸν προσαγαγών, καὶ θύσας, ἐπαύσατο τῆς ἱερωσύνης, ἀλλὰ διηνεκεῖ ταύτῃ λειτουργεῖ τὴν λειτουργίαν ἡμῖν, καθ' ἣν καὶ παράκλητός ἐστιν ὑπὲρ ἡμῶν πρὸς τὸν θεὸν δι' αἰῶνος· οὗ χάριν εἴρηται πρὸς αὐτόν· Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα. διὰ τοῦτο οὐδεμία τοῖς πιστοῖς περὶ τοῦ ἁγιασμοῦ τῶν δώρων ἀμφιβολία, οὐδὲ περὶ τῶν ἄλλων τελετῶν, εἰ κατὰ τὴν πρόθεσιν καὶ τὰς εὐχὰς τῶν ἱερέων ἀποπληροῦνται.

Τί δ' ἄν τις εἴποι περὶ τῶν θείων ῥιπιδίων ἐγκεχειρισμένων τοῖς διακόνοις, καὶ ὑπ' αὐτῶν στρεφομένων ἀφειδῶς ὡς ἐν ἐκπλήξει, ἄχρι τῆς θεολέκτου προσευχῆς. τολμηρὸν μὲν οὖν τὸ περὶ τούτων φθέγγεσθαι ἔτι. ἐπεὶ δ' ἅπαξ ὑπείξαμεν τῇ ἐντολῇ τοῦ κελεύσματος, φέρε καὶ περὶ τούτων εἴπωμεν, ὅσα δοίη θεός, εἰ μὴ καὶ τοῖς ἄλλοις δεξιά, τῇ θεοῦ χάριτι· οὐ γὰρ πάν-

τῇ ψυχικῇ οὐ οἶδα, οὐδ' ἔξω τῶν δογμάτων, τῆς τῶν χριστιανῶν ὀρθοδόξου πίστεως. φαμὲν οὖν ὡς πάντοτε μὲν ἀδιαστάτως συμπαρῆσαν καὶ δυνάμεις οὐράνιοι τῷ δεσπότῃ χριστῷ· ἐξαιρέτως δέ, ἐν τῇ νυκτὶ ταύτῃ ᾗ παρεδόθη. αὗται τοίνυν ὁρῶσαι τὴν πρὸς Καϊάφαν ἀπαγωγήν, τὴν πρὸς τὸν ἄνθρωπον παράστασιν, τὰς ψευδομαρτυρίας, τὰ ῥαπίσματα, τὰ ἐμπτύσματα, τὰ κολαφίσματα, τὴν χλεύην ἐκείνην τῶν ἰουδαίων, τῶν στρατιωτῶν τὸ κόκκινον ἔνδυμα, τὸν ἐξ ἀκανθῶν στέφανον, τὰς μετὰ γέλωτος προσκυνήσεις, τἆλλα πάντα, ὅσα τε ἡ τῶν θείων εὐαγγελίων ἱστορεῖ διήγησις, καὶ ὅσα διὰ τὸ πλῆθος ἴσως παρέλειψεν, ἐφ' ἑκάστῳ τῶν γινομένων διαποροῦσαι, καὶ ἐκπληττόμεναι τῆς μακροθυμίας τὸ μέγεθος, καλύπτουσαι τὰς ἑαυτῶν ὄψεις ἀπεστρέφοντο, καὶ πάλιν τὴν δεσποτείαν αἰδούμεναι, αὖθις ἐπέστρεφον. τοῦτο δὲ ἐποίουν, ἄχρι τῆς ἐπὶ σταυροῦ ἀνυψώσεως· τέλος γὰρ τῶν τοῦ σώματος παθῶν, καὶ τῆς ἐπὶ τούτοις αἰσχύνης, ὁ σταυρὸς γέγονεν, ὃς δόξα μᾶλλον, καὶ οὐκ αἰσχύνη· ἀρχὴ γάρ ἐστι τῶν ἐνεργειῶν καὶ δυνάμεων τῆς θεότητος· ἐντεῦθεν γὰρ ὁ κοσμικὸς ἐκεῖνος σεισμός, τὸ πρὸς ὥραν σκότος ἐπὶ πᾶσαν τὴν γῆν, ἥ τε τοῦ καταπετάσματος καὶ τῶν πετρῶν διάρρηξις, καὶ ἡ τῶν μνημάτων ἀνάοιξις· ἔτι γε μὴν καὶ ἡ τῶν νεκρῶν ἐξανάστασις, καὶ ὅσα ἐν ᾅδου κατελθὼν ὁ σωτὴρ εἰργάσατο· τὸ δὲ διὰ τοῦτο περὶ αὐτοῦ τῷ τύπῳ τῆς σταυρώσεως γινομένῳ τῷ χριστῷ, τὰ ἐκπλήξεως καὶ τοῦ θαύματος εἴδη αἱ θεῖαι δυνάμεις ἀπέθεντο· κἀντεῦθεν δῆλον, ὡς τὰ παρὰ τοῦ σταυροῦ πάντα ὀνείδη, καὶ αἱ χλευασίαι καὶ ὕβρεις, καὶ οἱ καταγελῶντες, πλέον ἥπτοντο τοῦ πάσχοντος, ὥσπερ καὶ τῶν νοερῶν θείων δυνάμεων.

εἶτα πάλιν ὁ ἱερεὺς ἀπαγγέλλει τῷ θεῷ καὶ πατρὶ, τὰ τῆς χριστοῦ ἐνανθρωπήσεως μυστήρια, τὴν ἐξ ἁγίας παρθένου καὶ θεοτόκου ἀνέκφραστον γέννησιν, τὴν ἀναστροφὴν καὶ ἐμπολίτευσιν τὴν ἐν τῷ κόσμῳ, τὸν σταυρόν, τὸν θάνατον, τὴν ἐν τῷ ᾅδῃ αὐτοῦ κατάβασιν, τὴν τῶν δεσμίων δι' αὐτοῦ ἐλευθερίαν, τὴν ἐκ νεκρῶν τριήμερον καὶ ἁγίαν ἀνάστασιν, τὴν ἐν τοῖς οὐρανοῖς ἀνάληψιν, τὴν ἐκ δεξιῶν τοῦ θεοῦ καὶ πατρὸς καθέδραν, τὴν δευτέραν καὶ μέλλουσαν αὐτοῦ ἔνδοξον παρουσίαν· πάλιν [illegible] καὶ πάλιν μυσταγωγεῖται θεὸν ἀγέννητον, τουτέστι θεὸν καὶ πατέρα, καὶ γαστέρα πρὸ ἑωσφόρου, καὶ πρὸ αἰώνων τὸν υἱὸν γεννῶσαν, καθὼς λέγει· Ἐκ γαστρὸς πρὸ ἑωσφόρου γεγέννηκά σε. καὶ παρακαλεῖ πάλιν τελειῶσαι τὸ μυστήριον τοῦ υἱοῦ αὐτοῦ, καὶ γεννηθῆναι ἤτοι μεταποιηθῆναι αὐτὸν τὸν ἄρτον καὶ τὸν οἶνον, εἰς σῶμα καὶ αἷμα τοῦ χριστοῦ καὶ θεοῦ, καὶ πληρωθήσεται τό, Ἐγὼ σήμερον γεγέννηκά σε. ὅθεν καὶ τὸ ἅγιον πνεῦμα τῇ εὐδοκίᾳ τοῦ πατρὸς, καὶ βουλήσει τοῦ υἱοῦ ἀοράτως παρὸν, ἐπιδείκνυσι τὴν θείαν ἐνέργειαν, καὶ τῇ χειρὶ τοῦ ἱερέως ἐπισφραγίζει, καὶ μεταβάλλει καὶ τελειοῖ τὰ προκείμενα ἅγια δῶρα εἰς σῶμα καὶ αἷμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, τοῦ εἰπόντος, ὅτι ὑπὲρ αὐτῶν ἐγὼ ἁ-

γιάζω ἐμαυτόν, ἵνα ὦσι καὶ αὐτοὶ ἡγιασμένοι· ὅπως ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένῃ, κἀγὼ ἐν αὐτῷ. ὅθεν γενόμενοι θείων μυστηρίων αὐτόπται, καὶ μέτοχοι ζωῆς ἀθανάτου, καὶ κοινωνοὶ θείας φύσεως, δοξάζομεν τὸ μέγα καὶ ἀκατάληπτον καὶ ἀνεξιχνίαστον μυστήριον τῆς οἰκονομίας τοῦ υἱοῦ τοῦ θεοῦ· δοξάζοντες δὲ βοῶμεν·

Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέροντες. Τοῦ σώματος καὶ αἵματος τοῦ εἰπόντος, Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· ὅ ἐστιν, ἃ ἡμῖν διὰ τῶν ἁγίων σου ἀποστόλων παρέδωκας, ταῦτά σοι προσφέρομεν διὰ τὴν ἡμῶν σωτηρίαν. Ὁ λαός. Σὲ ὑμνοῦμεν, τὸν θεὸν καὶ πατέρα· σὲ εὐλογοῦμεν, τὸν υἱὸν, καὶ λόγον· σοὶ εὐχαριστοῦμεν, τῷ ἁγίῳ πνεύματι· κύριε ὁ θεὸς ἡμῶν, τριὰς ἐν μονάδι, καὶ μονὰς ἐν τριάδι, ὁμοούσιε καὶ ἀδιαίρετε, παράδοξον ἔχουσα, καὶ τὴν διαίρεσιν τῶν προσώπων, καὶ τὴν ἕνωσιν τῆς μιᾶς φύσεως τῆς θεότητος· καὶ γὰρ τὸ ἐπικεκυφότως ποιεῖν τὸν ἱερέα τὴν θείαν μυσταγωγίαν, ἐμφαίνει τὸ συλλαλεῖν ἀοράτως τῷ μόνῳ θεῷ. ὅθεν καὶ τὴν θείαν φωτοφανείαν ὁρᾷ, καὶ τῇ λαμπρότητι τῆς δόξης τοῦ προσώπου τοῦ υἱοῦ τοῦ θεοῦ, ἐμφαιδρύνεται καὶ ὑποστέλλει ἑαυτὸν τῷ φόβῳ καὶ τῇ αἰδοῖ· καθὼς Μωϋσῆς ὅτε εἶδε τὸν θεὸν ἐν εἴδει πυρὸς ἐν τῷ ὄρει, ἐν ἐρήμῳ γενόμενος, ἀπέστρεψε καὶ ἐκάλυψε τὸ πρόσωπον αὐτοῦ· εὐλαβεῖτο γὰρ κατανοῆσαι ἀπὸ τῆς δόξης τοῦ θεοῦ τὸ πρόσωπον.

Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου. χρὴ ἡμᾶς τὴν κυρίαν τοῦ παντὸς ἐπαινεῖν, καὶ τὸ χαῖρε τοῦ ἀγγέλου ἐκφωνεῖν.

Τὰ σὰ ἐκ τῶν σῶν. ὁ θεὸς κατ' εἰκόνα αὐτοῦ ἔπλασεν ἡμᾶς, ὅ ἐστι κατὰ τὸ ὅσιον καὶ δίκαιον καὶ δυνατόν. παραβάντες δὲ, δοῦλοι γεγόναμεν Φαραὼ τοῦ πικροῦ δεσπότου. ἐλθὼν οὖν ὁ κύριος ἡμῶν Ἰησοῦς χριστὸς, ἐξηγόρασεν ἡμᾶς ἰδίῳ αἵματι, καὶ ἐνέδυσεν ἡμᾶς τὸν νέον ἄνθρωπον· καὶ τὸ τίμιον αὐτοῦ σῶμα καὶ αἷμα ἡμῖν δέδωκεν εἰπών· Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. ἡμεῖς δὲ μεμνημένοι τῆς αὐτῆς ἐντολῆς, τὰ ἀντίτυπα προσφέρομεν λέγοντες· Τὰ σὰ ἐκ τῶν σῶν σοὶ, καὶ τὰ ἑξῆς. νοητῶς, ὅ ἐστι τὸ ἀρχέτυπον ἡμῶν ἀξίωμα, δηλαδὴ τὸ κατ' εἰκόνα, ὅ ἐστι τὸ δίκαιον, τὸ ὅσιον, καὶ τὸ δυνατόν· δίκαιον μὲν, μήτε ἀδικεῖσθαι, μήτε ἀδικεῖν· ὅσιον δὲ, τῶν ἀδικουμένων ἀνέχεσθαι, καὶ συγχωρεῖν τοῖς ἀδικοῦσι, μᾶλλον δὲ καὶ εὐεργετεῖν αὐτούς. κατὰ πάντα δὲ δεῖ ὑμνεῖν αὐτὸν ὡς θεὸν καὶ κύριον τοῦ παντός.

Τὸ δὲ σφραγίσαι τὰ θεῖα δῶρα, ἵνα τῇ ἐπιφοιτήσει καὶ ἐνδόξῳ παρουσίᾳ τοῦ ἁγίου πνεύματος, μεταβάλῃ καὶ ποιήσῃ, τὸν μὲν ἄρτον, αὐτὸ τὸ τίμιον σῶμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ· τὸ δὲ ἐν τῷ ποτηρίῳ, αὐτὸ τὸ τίμιον αἷμα τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ, τὸ ἐκχυθὲν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας· καὶ ἵνα τοῖς μεταλαμβάνουσιν ἐξ αὐτοῦ, γένηται εἰς ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν αἰώνιον.

τὸ δὲ Ἐξαιρέτως, τουτέστιν ὦ μῆτερ ἁγνὴ τοὺς ἀφεξῆς τόπους καὶ τὰς παρεληλυθούσας σκιὰς τοῦ λόγου θεασάμενοι, καὶ τὰ ἐν τούτοις, κεκλεισμένης πύλης, φῶς τῆς ἀληθείας ἀναλάμψαν, δοξάζομεν· σὴν δὲ γαστέρα ἐπαξίως εὐλογοῦμεν. Καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει. ὁ λαός. Καὶ πάντων καὶ πασῶν.

ἐντέλλεται ὁ ἱερεὺς τῷ λαῷ, μνημονεύειν τὰς τῶν διανοιῶν ὀργάς, ἐν τῷ καιρῷ τῆς θείας μυσταγωγίας, καὶ ἀπορρίψαι αὐτὰς ἐκ πάντων καὶ πασῶν τῶν μισούντων ἡμᾶς. [Γίνεται δὲ καὶ μνήμη πρὸς τὸν θεὸν ὑπὲρ τῶν κεκοιμημένων, καὶ πνευμάτων, καὶ πάσης σαρκός, ὡς νεκρῶν καὶ ζώντων τὴν ἐξουσίαν ἔχοντα, καὶ διασώζοντα ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων καὶ ὡς τοῦ βασιλέως Χριστοῦ παρόντος, καὶ ὡς τοῦ ἁγίου πνεύματος πάντας προσκαλουμένου, ζῶντάς τε καὶ μεταστάντας, πρὸς τὰς ἐκεῖσε μονάς, καὶ καταπαύσεις, εἰς τὴν τοῦ κυρίου καὶ θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ προσέλευσιν, συναθροισθῆναι καὶ προφθάσαι τὸ πρόσωπον αὐτοῦ, καὶ ἀκουτισθῆναι τῆς φωνῆς τῆς αἰνέσεως αὐτοῦ· ὡς πασῶν τῶν ἐν ᾅδῃ ψυχῶν ἀπολυθεισῶν τῶν δεσμῶν, διὰ τοῦ θανάτου καὶ τῆς ἀναστάσεως Χριστοῦ· αὐτὸς γὰρ ἐγήγερται ἐκ νεκρῶν, ἀπαρχὴ καὶ πρωτότοκος γενόμενος τῶν κεκοιμημένων· καὶ πᾶσιν ὁδοποιήσας τὴν ἐκ νεκρῶν ἀνάστασιν· καὶ πρὸς τὴν ἀθάνατον καὶ μακαρίαν ζωὴν ἀναπαύων τοὺς ἐπ' ἐλπίδι τῆς ἀναστάσεως αὐτοῦ κοιμηθέντας. συγκαλοῦνται δὲ πᾶσαι αἱ ψυχαὶ αὐτοῦ μετὰ τῶν προφητῶν καὶ ἀποστόλων καὶ μαρτύρων συνεισελθεῖν καὶ ἀνακλιθῆναι μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, ἐν τῇ μυστικῇ τραπέζῃ τῆς βασιλείας Χριστοῦ.

Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζειν καὶ ἀνυμνεῖν τὸ πάντιμον. δεόμεθά σου ὥσπερ ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ εἰς τὴν σὴν δοξολογίαν· οὕτω τὴν ἕνωσιν καὶ ἓν πνεῦμα, καὶ μίαν ψυχὴν δὸς ἡμῖν, ἵνα συναπτόμενοι τῷ τῆς ἀγάπης συνδέσμῳ, δυνησώμεθα μετὰ παρρησίας ἀπολαύειν τῆς προκειμένης τραπέζης, καὶ γενώμεθα ἄξιοι τῶν θείων μυστηρίων, δοξάζοντες καὶ ὑμνοῦντες τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.

Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ἡμῶν. ἐὰν οὕτω προσαξόμεθα ὡς ἀνωτέρω ἔφημεν, τὰ ἐλέη τοῦ θεοῦ ἔσται μετὰ πάντων ἡμῶν. ἔλεος θεοῦ, ὁ Χριστός ἐστιν, ὁ δι' ἡμᾶς καὶ διὰ τὸ ἐλεῆσαι ἡμᾶς, ἀπὸ τοῦ μεγάλου θεοῦ ἀποσταλείς· ὃς καὶ παρέδωκεν ἑαυτὸν δι' ἡμᾶς, καὶ ἠλέησεν· οἱ γὰρ εἰς ἑνότητα τῆς πίστεως καὶ κοινωνίαν τοῦ ἁγίου πνεύματος συνελθόντες, διὰ τῆς οἰκονομίας τοῦ ὑπὲρ ἡμῶν ἀποθανόντος καὶ ἐγερθέντος, καὶ καθίσαντος ἐν δεξιᾷ τοῦ πατρός, οὐκ ἔτι ἐπὶ γῆς ἐσμέν, ἀλλ' ἐν τῷ θρόνῳ τοῦ θεοῦ τῷ βασιλικῷ παρεστήκαμεν ἐν τοῖς οὐρανοῖς, ὅπου ὁ Χριστός ἐστι, καθὼς αὐτὸς λέγει· Πάτερ δίκαιε ἁγίασον αὐτοὺς ἐν τῷ ὀνόματί σου, οὓς δέδωκάς μοι ἵνα ὅπου εἰμὶ ἐγώ, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ, καὶ θεωρῶσι

τὴν δόξαν ἣν δέδωκάς μοι, ὅτι ἠγάπησας αὐτοὺς, καθὼς ἐμὲ ἠγάπησας. πάντες γὰρ οἱ τὴν υἱοθεσίαν ἀπολαβόντες, καὶ συγκληρονόμοι τοῦ χριστοῦ γενόμενοι, διὰ τῆς χάριτος αὐτοῦ, καὶ οὐκ ἐξ ἔργων ἡμῶν, ἔχομεν τὸ πνεῦμα τοῦ υἱοῦ τοῦ θεοῦ εἰς τὰς καρδίας ἡμῶν. οὗτινος τὴν χάριν καὶ τὴν ἐνέργειαν θεωρῶν ὁ ἱερὸς, βοᾷ καὶ λέγει, Αββᾶ ὁ πατὴρ ὁ οὐράνιος, ἀξίωσον ἡμᾶς ἀκατακρίτως μετὰ παρρησίας τολμᾶν ἐπικαλεῖσθαί σε καὶ λέγειν·

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς. ἀληθῶς πατὴρ πάντων ἡμῶν ἐστὶ, καὶ πάντας τηρεῖ. καὶ εἰ μὲν τὸ θέλημα αὐτοῦ πράττομεν, ἔστι πατὴρ ἡμῶν· εἰ δὲ μὴ, οὗτινος τὸ ἔργον ποιοῦμεν, ἐκεῖνος ἐστὶ πατήρ. Καὶ ἄλλως. πατέρα αὐτὸν καλεῖς, ὡς τέκνον πολιτεύου, ἵνα εὐάρεστος αὐτῷ γένῃ τῷ πατρὶ τῷ ἐν τοῖς οὐρανοῖς· τίς γὰρ τῷ κοσμοκράτορι τῶν κάτω συρομένων στρατευόμενος, καὶ υἱοθετούμενος αὐτῷ διὰ τῶν πονηρῶν ἔργων, τολμᾷ τὸν αἴτιον πάντων ἀγαθοῦ κύριον, εἰπεῖν πατέρα· δῆλον δὲ ὅτι ἐκεῖνος, οὐ τὸν κύριον σαβαὼθ καλεῖ πατέρα, ἀλλὰ τὸν ἀντικείμενον, οὗ καὶ τὰ ἔργα πράττει. Αλλως.

πατέρα λέγεις ἄνθρωπε τὸν θεὸν, καλῶς λέγεις· ἔστι γὰρ πατὴρ καὶ ποιητὴς πάντων ἡμῶν· ἀλλὰ σπεῦδε ἐργάζεσθαι ἔργα ἀρέσκοντα τῷ πατρί σου. εἰ δὲ κακὰ ἔργα ποιεῖς, πρόδηλον ὅτι τὸν διάβολον ἐπικαλεῖς πατέρα· ἐκεῖνος γάρ ἐστιν ἔφορος τῶν κακῶν. διὸ σπεῦδε ἐκφυγεῖν τοῦτον, καὶ ἀρέσαι τῷ ἀγαθῷ πατρί σου καὶ ποιητῇ σου.

Αγιασθήτω τὸ ὄνομά σου. ὄνομά ἐστι τοῦ υἱοῦ τοῦ θεοῦ, τὸ ἐπικληθὲν ἐφ' ἡμᾶς· χριστὸς γὰρ, καὶ ἡμεῖς χριστιανοὶ, καὶ τὸ ὄνομα αὐτοῦ ἐπικέκληται ἡμῖν. ναὶ ἀληθῶς ἅγιος ὁ θεὸς, ἀλλ' ἡμεῖς παρακαλοῦμεν, ἵνα ἁγιάσῃ τὸ ὄνομα αὐτοῦ ἐν ἡμῖν, ὅ ἐστι τὸ ἔργον ἡμῶν, ἀξιολόγιστον, ἅγιον καὶ ὅλως καθαρὸν ποιήσῃ τὸ σῶμα ἡμῶν, ἵνα ἀνέγκλητον εὑρεθῇ ἐν τῇ ἡμέρᾳ τῆς ἀπολογίας· καὶ τί γὰρ, οὐκ ἔστιν ἅγιος ὁ θεός; ναὶ ἅγιος. ἀλλὰ τοῦτο λέγεις, ἐν ἐμοὶ ἁγιασθήτω τὸ ὄνομά σου, ὅπως ἴδωσιν οἱ ἄνθρωποι τὰ καλὰ ἔργα μου, καὶ δοξάσωσί σε τὸν πατέρα καὶ ποιητήν μου.

Ελθέτω ἡ βασιλεία σου· ἡ βασιλεία τοῦ θεοῦ, τὸ πνεῦμά ἐστι τὸ ἅγιον ὡς λέγει, Η βασιλεία τῶν οὐρανῶν, ἐντὸς ἡμῶν ἐστί· τῷ πνεύματι γὰρ τῷ ἁγίῳ σὺν πατρὶ καὶ υἱῷ τὸ βασιλεύειν πέλει; τῷ ἁγιάζοντι καὶ φωτίζοντι τὰς νοερὰς καὶ ἀγγελικὰς δυνάμεις, καὶ οὐρανίους στρατιάς, καὶ πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, καὶ πιστεύοντα εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· ἀληθῶς βασιλεὺς γῆς, ὁρατῶν καὶ ἀοράτων. ἀλλ' ὥσπερ πόλις κυκλωθεῖσα ὑπὸ ἐχθρῶν, ζητεῖ τὴν τοῦ βασιλέως βοήθειαν· οὕτω καὶ ἡμεῖς κυκλωθέντες ὑπὸ τῶν ἐναντίων δυνάμεων καὶ τῶν ἁμαρτιῶν, ζητοῦμεν παρ' αὐτοῦ βοήθειαν, ἵνα λυτρώσηται ἡμᾶς. τὸν βασιλέα καλεῖς, γενοῦ ὡς πνευματικὸς στρατιώτης, ἵνα ἀρέσῃς τῷ βασιλεῖ τῷ στρατολογήσαντί σε· καὶ τί γὰρ, οὐκ ἔστι βασιλεὺς ὁ θεὸς, ὅτι μέλλει ἔρχεσθαι ἡ βασιλεία αὐ-

του; καὶ βασιλεὺς πάντων ἐστίν. ἀλλ᾽ ὥσπερ πόλις κυκλωθεῖσα, ὡς εἴρηται.

Καὶ κατ᾽ ἄλλον τρόπον. ἐπειδὴ ὁ προφήτης λέγει· Ἐβασίλευσεν ὁ θεὸς ἐπὶ τὰ ἔθνη, τῷ παρεληλυθότι χρόνῳ ὡς μέλλοντι χρησάμενος, χάριν τούτου κράζομεν, Ἐλθέτω ἡ βασιλεία σου ἐφ᾽ ἡμᾶς τὰ ἔθνη κύριε.

Γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. τὸ θέλημα τοῦ θεοῦ καὶ πατρὸς, ἡ οἰκονομία τοῦ υἱοῦ αὐτοῦ ἐστιν. οἱ ἄγγελοι ἐν οὐρανῷ, ἐν ὁμονοίᾳ καὶ συμφωνίᾳ ὑπάρχουσιν· τοῦτο ζητοῦμεν καὶ ἡμεῖς ἐν ἀγάπῃ ἀνυποκρίτῳ γενέσθαι. ὁποῖον θέλημα ζητεῖς, ἐν οὐρανῷ γάρ· τὸ ἐν τῇ γῇ δεῖ σε πληρῶσαι· τὸ δὲ νόημά ἐστιν οὕτως· κύριε ὥσπερ ἐγένετο ἐν τῷ οὐρανῷ τὸ θέλημά σου, καὶ εἰσὶ πάντες οἱ ἄγγελοι ἐν εἰρήνῃ, καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ὠθῶν καὶ ἀντωθούμενος, οὔτε θλίβων καὶ θλιβόμενος, οὔτε πολεμῶν καὶ πολεμούμενος, ἀλλὰ πάντες ἐν γαλήνῃ βαθείᾳ δοξάζουσί σε· οὕτω καὶ ἐν ἡμῖν τοῖς ἐπὶ γῆς ἀνθρώποις γενηθήτω τὸ θέλημά σου, ἵνα πάντα τὰ ἔθνη ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζωμέν σε τὸν ποιητὴν καὶ πατέρα πάντων ἡμῶν.

Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. ὁ ἄρτος ὁ ἐπιούσιός ἐστιν ὁ χριστὸς, ὁ ὢν, καὶ προὼν, καὶ μένων εἰς τοὺς αἰῶνας. ὁ ἑκουσίως ἐσθιόμενος, καὶ ἀδαπάνητος διαμένων ἀεὶ, καὶ διδοὺς ζωὴν τῷ κόσμῳ· ὃν διὰ τοῦ βαπτίσματος δεξάμενοι, οὕτω λαβεῖν πάντοτε καὶ ἔχειν καὶ ἐσθίειν αἰτούμεθα. τὸν πρέποντα τῇ οὐσίᾳ ἡμῶν, ὡς ἔστιν ἀρκοῦν ἡμῖν, ἵνα μὴ πεινώμενοι καὶ λιμῷ τηκόμενοι, εἰς βλασφημίαν τραπῶμεν, ἢ περιττεύοντες ἐπαρθῶμεν καὶ ἀπορρίψωμεν ἀπὸ σοῦ. ἄρτον ἐὰν ζητῇς, χρειώδη μὴ σώρευε. εἰ δὲ λείπῃ καὶ στερῇ, προτρεψάτω σε ζητῆσαι. ἐπιούσιον ἄρτον αἰτούμεθα λαβεῖν, ἐπειδὴ ὁ πᾶς ἄνθρωπος, ἐκ δύο οὐσιῶν συνίσταται, ψυχῆς τε λέγω καὶ σώματος· καὶ διὰ τοῦτο, ἐφ᾽ ἑκάστῃ οὐσίᾳ τὸν πρέποντα ἄρτον αἰτούμεθα· ἄρτος μὲν γὰρ σώματος, ἐστὶν ὁ ἐσθιόμενος ἄρτος· ὁ δὲ ψυχῆς, λόγος θεοῦ. ἄνοιγε τέκνον τὸ στόμα καὶ συχνότερον μνημόνευε θεοῦ μᾶλλον ἢ ἀνάπνει. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν. συγχώρησον ἡμῖν τὰ ἁμαρτήματα ἡμῶν, λέγοντες, ὥσπερ ἡμεῖς τοῖς πταίουσιν ἡμῖν. καὶ εἰ οὕτω ποιοῦμεν, καὶ αὐτὸς ἡμῖν οὕτω ποιήσει· ἐὰν ἀφῆκας τινὶ, ζήτει. ἐὰν ἔλυσας ἀδελφὸν ἀπὸ ἔχθρας, παρακάλει· εἰ δὲ μνησικακίαν ἔχεις, ποίαν ἄφεσιν ζητεῖς. ἡ δὲ ἐπίλυσίς ἐστιν οὕτως, ὡς φέρε εἰπεῖν· κύριε ἄφες ἡμῖν τὰ χρέα ἡμῶν, τουτέστι τὰς ἁμαρτίας ἡμῶν, καὶ τὰ πταίσματα, ὡς καὶ ἡμεῖς ἀφίεμεν πᾶσι τοῖς ἁμαρτάνουσι καὶ πταίουσιν εἰς ἡμᾶς ἀδελφοῖς ἡμῶν, ἐλευθέροις τε καὶ δούλοις, καὶ πᾶσι τοῖς ὑποχρέοις ἡμῶν. ταῦτα λέγων ἄνθρωπε, ἐὰν οὕτω ποιῇς, ἐννοήθητι, ὅτι φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος· καὶ διορθωσάμενος, ἐπίστρεψον πρὸς τὸν θεὸν καὶ πατέρα καὶ ποιητήν σου.

Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν· ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. ἡμεῖς δὲ πάντα ἐσμὲν ἄξιοι πάσης κολάσεως, καὶ παρακαλοῦμεν

μὴ παραδώσῃς ἡμᾶς εἰς χεῖρας ἐχθίστων ἀνθρώπων, καὶ πονηρῶν δαιμόνων, πρὸς τὸ κολάσαι ἡμᾶς· ἀλλὰ σὺ κύριε ἡμᾶς παίδευσον, ὅτι ὡς ἡ φιλανθρωπία σου, οὕτω καὶ ἡ παιδεία σου ἐστί. γάρ, ὁ θεὸς εἰσάγει ἄνθρωπον εἰς πειρασμόν; μὴ γένοιτο· οὐ γὰρ αἴτιος τῶν κακῶν ὁ θεός· ἀλλὰ παρακαλέσωμεν αὐτόν, ἵνα τοῖς πολλοῖς αὐτοῦ οἰκτιρμοῖς, μὴ ἐάσῃ ἡμᾶς πειρασθῆναι.

Κύριε ἐὰν ζητήσῃ ἡμᾶς ὁ σατανᾶς σινιάσαι ὡς τὸν σῖτον, ὥσπερ καὶ τοὺς ἁγίους σου ἀποστόλους, ἐζήτησε μέν, ἀπέτυχε δέ, ἢ ὡς τὸν πάλαι Ἰώβ, μὴ δώσῃς αὐτῷ ἐξουσίαν καθ' ἡμῶν. ἀλλ' εἰ καὶ πονηρὸς ἄνθρωπος θελήσει ἡμᾶς πειράσαι, μὴ δώσῃς ἡμᾶς τῷ θελήματι αὐτοῦ, ἀλλὰ σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· σοῦ γάρ ἐστιν ἡ ἐξουσία καὶ ἡ κυρεία τοῦ ἐλεεῖν καὶ σώζειν, τοῦ θανατοῦν καὶ ζωογονεῖν, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

κύριε ἐπειδὴ σή ἐστιν ἡ βασιλεία, μὴ ἐάσῃς ἡμᾶς φοβηθῆναι ἑτέραν βασιλείαν, μήτε δύναμιν μήτε δεσποτείαν· ἀλλ' εἰ καὶ ἄξιοι ἐσμὲν κολάσεων, διὰ τὰς ἁμαρτίας ἡμῶν, σὺ ἡμᾶς οἷα πατὴρ θελήσῃς, τιμώρησον. καὶ μὴ παραδῷς ἡμᾶς εἰς χεῖρας ἀνθρώπων. ἐμπεσούμεθα δὲ εἰς χεῖρας σάς· ὅτι ὡς ἡ μεγαλωσύνη σου, οὕτω καὶ τὸ ἔλεός σου πάτερ παντοκράτορ.

Εἰρήνη πᾶσιν. ἤρεμον τὸν νοῦν ἔχοιμεν πάντες. Τὰς κεφαλὰς ὑμῶν. τὰς διανοίας ὑμῶν σὺν τοῖς ἔργοις τῷ κυρίῳ ἐπιστρέψωμεν, δεόμενοι τὰ προκείμενα δῶρα εἰς ἀγαθὸν ἐξομαλίσαι κατὰ τὴν χρείαν ἑκάστου.

Εὐχαριστοῦμεν δὲ χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου. εἶτα βοᾷ ὁ ἱερεὺς τοῖς πᾶσι λέγων· Ὅτι ἐγὼ ἄνθρωπός εἰμι ὁμοιοπαθὴς ὑμῖν, μὴ γινώσκων ἑκάστου ὑμῶν τὰ ἔργα· ὁρᾶτε οὖν καὶ γίνεσθε ἅγιοι, ὅτι ὁ Χριστὸς ὃν μέλλετε μεταλαβεῖν, ἅγιος θεός ἐστι, καὶ ἐν ἁγίοις ἀναπαυόμενος. Τὰ ἅγια τοῖς ἁγίοις. τοῖς ἀμνησικάκοις καὶ καθαροῖς τῇ καρδίᾳ ἀξιοῖ ὁ θεὸς δοῦναι τὰ ἅγια. ἁγίους λέγει, τοὺς κεκαθαρμένους ἀπὸ συνειδήσεως πονηρᾶς, καὶ ἔχοντας πίστιν εἰλικρινῆ εἰς τὰ ἅγια. ὁ λαὸς ὁμολογεῖ καὶ λέγει· Εἷς ἅγιος, εἷς κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν θεοῦ πατρός. ἀμήν. εἷς ἅγιος καὶ θεὸς ἀναμάρτητός ἐστιν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς σὺν θεῷ πατρὶ καὶ ἁγίῳ πνεύματι, αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἄλλως. Θεὸν λέγει, τὸν ἐν τριάδι ὑμνούμενον. Τὸ δὲ συγκαλύπτεσθαι διὰ τῶν πτερύγων, τοιάνδε καὶ τοιάνδε θέσιν, κατὰ τὴν τοῖς θεόπταις ὁραθεῖσαν ὄψιν· ἡ διὰ τὸ τρισσὸν μᾶλλον τοῦ ἁγιασμοῦ κρυφίως τὸν ἀριθμὸν ὑπαινίττεσθαι τῶν ὑποστάσεων, καὶ τὸ μοναδικὸν ὁμοίως τῆς ἐξουσίας καὶ φύσεως καὶ θεότητος, τῇ μοναδικῇ τῆς κυριότητος. δοξάζεται δὲ διὰ τοῦ ἅγιος, ἅγιος, ἅγιος, καὶ ὁ τῶν τριῶν προσώπων ἁγιασμός. πάλιν ὁρᾶται, καὶ ἡ κυριότης τῆς μιᾶς φύσεως ὑμνεῖται· ἤτοι ὁ ἐν τριάδι θεός, τρισὶ σεραφικοῖς ἁγιασμοῖς δοξάζεται

ζεται, καὶ εἰς μίαν συνιοῦσι καὶ συνερχομένοις κυριότητα τῆς φύσεως καὶ θεότητος. τὸ δὲ τελειοῦν τὸν ἁγιασμόν, τὰς τρεῖς ὑποστάσεις αἰνίττεται καὶ ἡ κυριότης τὸ μοναδικὸν τῆς μιᾶς ἐξουσίας τε καὶ φύσεως. τὸ γοῦν συγκαλύπτεσθαι, τὸ ἄγνωστον καὶ κρύφιον διὰ τῆς τῶν πτερύγων συμπήξεως ὑποδηλοῖ τῆς θεότητος. ὅταν γὰρ εἴπῃ, Τὰ ἅγια τοῖς ἁγίοις, τοῦτο λέγει, περὶ τῶν καθαρῶν καὶ ἁγίων· τῶν γὰρ ἁγίων, οὐχὶ τῶν ἁμαρτημάτων, ἀλλὰ τῶν ἀγαθῶν ἔργων πλοῦτος. ἡ δὲ ὕψωσις τοῦ τιμίου σώματος, εἰκονίζει τὴν ἐπὶ τοῦ σταυροῦ ὕψωσιν, καὶ τὸν ἐν αὐτῷ θάνατον, καὶ αὐτὴν τὴν ἀνάστασιν.

Τὸ δὲ ὑψῶσαι τὸν ἱερέα τὸν θεῖον ἄρτον, καὶ τύπον σταυροῦ τρεῖς ποιῆσαι ἐν τῷ ἀέρι μετὰ τοῦ τιμίου καὶ ζωοποιοῦ ἄρτου, τοῦτο αἰνίττεται· ὁ μὲν εἷς σταυρὸς ὁ τυπούμενος ἄνω, ἁγιασθῆναι δηλοῖ τὸν ἄνω αἰθέρα· ὁ δὲ μέσος, τὸν ἀέρα· ὁ δὲ κάτω, ὁ ἐπιγείω καὶ πλησίον τοῦ δίσκου, τὴν γῆν, ἐν ᾗ καὶ τὸ ζωοποιὸν ἐκεῖνο τοῦ χριστοῦ σῶμα ἐτάφη. τὸ δὲ ἐν τῷ ποτηρίῳ ποιῆσαι τύπον σταυροῦ, καὶ αὐτὸν τρίτον, ἁγιασθῆναι δηλοῖ τὸν τετραπέρατον ἅπαντα κόσμον, παρὰ τῆς θείας ἐν σαρκὶ οἰκονομίας, καὶ παρὰ αὐτοῦ τοῦ ζωοποιοῦ πάθους χριστοῦ τοῦ θεοῦ. καὶ ὁ χριστὸς Ἰησοῦς σταυρούμενος, κατὰ δύσιν μὲν ἦν βλέπων· αἱ δὲ τίμιαι αὐτοῦ χεῖρες, ἡ μὲν ἐν τῇ μεσημβρίᾳ, ἡ δὲ ἐν τῇ ἄρκτῳ ἐκτεταμέναι ἦσαν· τὸ δὲ [illegible] εἰς ἀνατολὰς κατὰ τὸν λέγοντα· Ὁ θεὸς ἀπὸ θαιμὰν ἥξει. ἐπεὶ αὐτός ἐστιν ὁ νοητὸς ἥλιος τῆς δικαιοσύνης, καὶ ἀνατολὴ ὄνομα αὐτῷ. καὶ διὰ τὸ καραδοκεῖν ἐκεῖσε τὴν αὐτοῦ ἐπέλευσιν καὶ τὴν ἀνάστασιν.

Τὸ δὲ τρεῖς σταυρούς, τὸ τῆς ἁγίας τριάδος μυστήριον δηλοῖ. ἔπαθε μὲν ὁ υἱὸς καὶ λόγος τοῦ θεοῦ, εὐδοκίᾳ τοῦ συναϊδίου θεοῦ καὶ πατρός· συνεργίᾳ δὲ τοῦ ἁγίου πνεύματος. διὰ τοῦτο καὶ ὁ λαὸς βοᾷ, Εἷς ἅγιος, εἷς κύριος Ἰησοῦς χριστός· ἅγιον μὲν καὶ κύριον λέγων, τὸν ἐν τριάδι ὑμνούμενόν τε καὶ δοξαζόμενον θεόν· τὸ γὰρ τελειοῦν τὸν ἁγιασμόν, τὰς τρεῖς ὑποστάσεις δηλοῖ καὶ αἰνίττεται. τὸ δὲ ὑψῶσαι τὸν θεῖον ἄρτον μόνον, τοῦτό ἐστιν· ἐπεὶ αὐτός ἐστιν ὁ βασιλεὺς κύριος· καὶ αὐτός ἐστιν ἡ κεφαλὴ κατὰ τὸν ἀπόστολον· τὰ δὲ ἄλλα τίμια δῶρα, μέλη χριστοῦ, καὶ σῶμα χριστοῦ ἤγουν τοῦ τιμίου σώματος χριστοῦ τοῦ θεοῦ· ἐκεῖνος γάρ ἐστι μόνος, ἐν ᾧ τυποῦται καὶ δείκνυται τὸ θεῖον καὶ ζωηφόρον πάθος, τοῦ τυθέντος ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς· ἐπειδήπερ αὐτὸς μόνος ὁ θεῖος ἄρτος, σφάττεται μέν, καὶ ὡς ἀμνὸς θύεται. τὰ δ᾽ ἄλλα τῶν θείων δώρων οὐ λογχεύονται μετὰ τῆς λόγχης σταυροειδῶς· ἀλλ᾽ ὡς μέλη καὶ μέρη σώματος, μερίζονται καὶ κατασφάττονται· μετέχων οὖν ἐκεῖνος ὁ θεῖος ἄρτος ἁγιασμοῦ, μεταδίδωσι καὶ τοῖς ἄλλοις τιμίοις δώροις· ὁμοίως καὶ τῷ ποτηρίῳ μεταδίδωσι τοῦ ἁγιασμοῦ καὶ τῆς χάριτος.

Μετὰ δὲ τὴν ὕψωσιν, εὐθὺς ὁ μερισμὸς τοῦ θείου ποιεῖται σώματος, ἀλλὰ κἂν μερίζηται, ἀμέριστος διαμένει καὶ ἄτμητος, ἐφ᾽ ἑνὶ ἑκάστῳ μέρει τῶν τεμνομένων ὅλος γνωριζόμενός τε καὶ εὑρισκόμενος· εἰ γὰρ καὶ φθορὰν

ὑπέστη τοῦ θανάτου; ἀλλ' ἡ σὰρξ αὐτοῦ ἐν τῷ ᾅδῃ οὐκ εἶδε διαφθοράν.

Τότε δὲ κομίζεται ὕδωρ θερμότατον εἰς μικρὸν λεβητάριον, καὶ κιρνῶσιν ἐξ αὐτοῦ τὰ προκείμενα τῇ θείᾳ τραπέζῃ, εἴτε κρατῆρες, εἴτε ποτήρια εἶεν. ἵν' ὥσπερ ἐκ ζώσης προῆλθον τῆς θείας πλευρᾶς ἀμφότερα θερμότητος πεπληρωμένα, οὕτω δὴ καὶ τὸ ὕδωρ θερμότατον ἐν τῷ καιρῷ τῆς μεταλήψεως ἐπεμβαλλόμενον, τέλειον τὸν τύπον τοῦ μυστηρίου διαπληροῖ τοῖς μεταλαμβάνουσι τῇ θηλῇ τοῦ ποτηρίου, ὡς αὐτῇ τῇ ζωοπαρόχῳ πλευρᾷ ψαυόντων. Ταῦτα καὶ θύρα τίς ἐστι, πρὸς τὴν τῆς τριάδος πίστιν τε καὶ ἐπίγνωσιν. καὶ τοῦτο ὁ μέγας Ἰωάννης καὶ θεολόγος παρίστησι, τοῖς τρισὶ τούτοις μάρτυσι, τῆς σωτηρίου πίστεως καὶ δυνάμεως ἐπιστηρίζων τὸν λόγον. Τρεῖς εἰσιν οἱ μαρτυροῦντες, τὸ πνεῦμα, τὸ ὕδωρ καὶ τὸ αἷμα, καὶ οἱ τρεῖς εἰς τὸ ἕν εἰσιν.

ἡ δὲ μετάληψις δηλοῖ καὶ τὴν πρὸ τοῦ πάθους ἐπὶ τοῦ μυστικοῦ δείπνου μετάδοσιν τοῦ ἄρτου καὶ τοῦ καινοῦ ποτηρίου· περὶ οὗ εἶπεν ὁ σωτὴρ ἡμῶν, Οὐκέτι ἐκ τούτου πίω, ἄχρις ὅτου πίω αὐτὸ καινὸν ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου· ὃ καὶ ἔπιε μετὰ τὴν ἀνάστασιν ξένως ὁμοῦ καὶ καινοπρεπῶς· οὐ γὰρ ὡς χρείαν τηνικαῦτα τοῦ σώματος ἔχοντος τροφῆς, ἀλλ' εἰς πληροφορίαν τῶν μαθητῶν τῆς ἀναστάσεως ἕνεκα. Τὸ δὲ μεταλαβεῖν τὸν ἱερέα μόνον τὸν θεῖον ἄρτον, ἄνευ μὲν αἵματος, εἶθ' οὕτως μεταλαβεῖν τοῦ θείου αἵματος, οὐδὲν ἄλλο δηλοῖ, εἰ μὴ αἱματώδη ἔτι εἶναι τὸν θεῖον ἀμνόν, ἀπὸ τῆς θείας καὶ ζωηφόρου σφαγῆς, καὶ τοῦ νοητοῦ θύματος, ἣν ὁ ἱερεὺς ἐπεποιήκει μυστικῶς ἐν τῇ προθέσει. ἡ εὐχὴ ἡ μετὰ τὸ μεταλαβεῖν τὸν ἱερέα, Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν ἐξεναντίας πάντων τῶν θλιβόντων με. τὴν ἐπουράνιον λέγει τράπεζαν, τὸ μυστήριον τὸ ἀθάνατον τράπεζαν, τὸ ἄχραντον σῶμα. Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου. τὸ ἔλαιον λέγει τῆς χάριτος τοῦ ἁγίου πνεύματος. Καὶ τὸ ποτήριόν σου μεθύσκον με, ὡσεὶ κράτιστον. τὴν ἀθάνατον πόσιν λέγει τοῦ θείου αἵματος. Ἄλλως: Ποτήριον, τὸ τίμιον αἷμα. καὶ τὸ κατοικεῖν με ἐν οἴκῳ κυρίου εἰς μακρότητα ἡμερῶν, εἰς τὴν ἄνω Ἱερουσαλήμ. οἶκος ὁ οὐρανός, καὶ ἡ ἐκκλησία, καὶ ἡ Σιών.

Μετὰ φόβου θεοῦ καὶ πίστεως καὶ ἀγάπης προσέλθετε Χριστῷ τῷ θεῷ καὶ βασιλεῖ ἡμῶν. δεῖ οὖν φόβον ἔχειν ἡμᾶς καὶ ἀγάπην ἐν καιρῷ τῶν μυστηρίων, καὶ μετὰ πίστεως προσελθεῖν· ὅτι κἂν μυρία δηλαδὴ δικαιώματα ἔχωμεν, καὶ μὴ πιστικοὶ ὦμεν, οὐδὲν ἐξ αὐτῶν σωτηρίας, λέγει, καρπώσασθαι δυνησόμεθα. διὰ τοῦτο καὶ φόβον δεῖ ἔχειν καὶ ἀγάπην ἐν καιρῷ τῶν θυσιῶν· οὐδὲν γὰρ ἄλλο ἐμνημόνευσε δικαιοσύνης, εἰ μὴ τὴν ἀγάπην· αὐτὸς γὰρ ὁ μονογενὴς υἱὸς καὶ λόγος τοῦ θεοῦ, εἰρήνης πρόξενος πάντη τῷ πιστεύοντι, καὶ τὸ τίμιον αὐτοῦ σῶμα καὶ αἷμα μετὰ φόβου καὶ πίστεως δέδωκεν.

Ὀρθοί, οἱ μεταλαβόντες τῶν θείων ἀχράντων ἀθανάτων. τουτέστιν ὀρθῇ τῇ διανοίᾳ σὺν τοῖς ἔργοις στῶμεν μεταλαβόντες· καὶ ἀξίως αὐτῷ εὐχαρι-

στήσω-

στήσωμεν, ὅτι ἠξίωσεν ἡμᾶς τῶν θείων μυστηρίων γεύσασθαι, καὶ ἐν τῇ παλιγγενεσίᾳ σὺν αὐτῷ αὐλισθῆναι. ἀμήν. Ἄλλως. Οἱ μεταλαχόντες τῆς ζωοποιοῦ θυσίας, ἢ οὐσίας, ἀπὸ τῶν γηΐνων πρὸς τὰ οὐράνια διορθώσωμεν τὸν νοῦν, καὶ ἀξίως τῷ χριστῷ εὐαρεστήσωμεν, ὅτι ἠξίωσεν ἡμᾶς μεταλαβεῖν τοῦ τιμίου σώματος καὶ αἵματος αὐτοῦ. ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, καὶ τῆς ἐν τῇ παλιγγενεσίᾳ θεοφανείας, χάριτι αὐτοῦ. τί δέ ἐστι παλιγγενεσία· τὸ ἐκ δευτέρου γεννηθῆναι, καὶ ἀνακαινισθῆναι. ἡ δὲ ἄρσις τῶν καταλειφθέντων θείων λειψάνων, τὴν ἀνάληψιν τοῦ κυρίου καὶ θεοῦ ἡμῶν ὑπαινίττεται. ὁ δὲ τελευταῖος θυμιατὸς, τὴν χάριν τοῦ ἁγίου πνεύματος, τὴν δι᾽ ἐμφυσήματος δοθεῖσαν τοῖς ἀποστόλοις μετὰ τὴν ἀνάστασιν.

ἡ δὲ ὀπισθάμβωνος εὐχὴ, οἱονεὶ σφραγίς ἐστι πάντων τῶν αἰτημάτων, καὶ ἀνακεφαλαίωσις τακτικὴ, πρέπουσα τοῖς πρώτοις καὶ τιμιωτέροις ἐπιλόγοις· ἐπειδὴ γὰρ πᾶσα ἡ θεία ἱερουργία, προηγουμένως μὲν, ὑπὲρ τῶν προσενεχθέντων, καὶ δι᾽ οὓς προσήγαγον τελεῖται, ἔπειτα καὶ ὑπὲρ πάντων τῶν διαλειφθέντων· κατὰ τοῦτο ἐν τῷ τέλει, τάξιν ἐπιτήδειον τὴν ἑκάστης πρέπουσαν ἐκφωνουμένης εὐχῆς· ἐπειδὴ γάρ τινες, τῶν ἔξω τοῦ θυσιαστηρίου ἑστώτων, εἰς ἀπειρίαν πολλάκις χωροῦσι, γνωσιμαχοῦντες καὶ λέγοντες, τίς ἄρα ὁ σκοπὸς, καὶ ἡ τῶν παρὰ τοῦ ἀρχιερέως ὑποψιθυριζομένων εὐχῶν ἔννοιά τε καὶ δύναμις, καὶ ἐφίενται εἴδησιν τινὰ καὶ τούτων καταλαβεῖν, κατὰ τοῦτο οἱ θεῖοι πατέρες, ὡς ἀνακεφαλαίωσιν πάντων τὴν διὰ τῶν εὐχῶν αἰτουμένων, τὸν χαρακτῆρα ταύτης ἐποιήσαντο, διδάσκοντες τοὺς ἐπιζητοῦντας, ἐκ τοῦ κρασπέδου τὸ ὕφασμα. ὁ δὲ τοῦ παρθενικοῦ σώματος τύπος, ὁ μερισμὸς τῆς εὐλογίας καὶ προσφορᾶς, κλᾶται μὲν ὡς ἄρτος, διανέμεται δὲ ὡς ἀρρήτου εὐλογίας μετάληψις τοῖς μεταλαμβάνουσι μετὰ πίστεως· ὡς προσφορὰ δὲ τοῖς εὐωχοῦσι πλήρης ἁγιωσύνης, ἐκ τῶν ἁγίων ἀντιπροσφέρεται· καὶ οὕτως ἀπὸ μὲν τῆς μεταλήψεως τοῦ ἀχράντου σώματος, τοῦ ἐξ αὐτῆς τεχθέντος χριστοῦ τοῦ θεοῦ ἡμῶν, καὶ τοῦ τιμίου αἵματος, ὁ ἁγιασμὸς καὶ ἡ υἱοθεσία τοῖς πιστοῖς παραγίνεται· ἡ δὲ πνευματικὴ εὐλογία, καὶ ἡ ἄλλη τῶν ἀγαθῶν χορηγία, τῷ τῶν χριστιανῶν γένει, ἐκ τῆς διαιρουμένης τοῦ ἄρτου τοῦ σώματος τῆς θεοτόκου γίνεται καὶ πιστεύεται. ὁ μὲν θεόπτης ἐκεῖνος Μωϋσῆς, πάλαι αἵματα τράγων καὶ μόσχων ἐρράντιζε τὸν λαὸν, λέγων· Τοῦτο τὸ αἷμα τῆς διαθήκης κυρίου ἐστίν. ὁ δὲ χριστὸς καὶ θεὸς, τὸ ἴδιον σῶμα δέδωκε, καὶ τὸ ἴδιον αἷμα ἐξέχεε, καὶ ἐκέρασε τὸ καινῆς διαθήκης πόμα, λέγων, Τοῦτό ἐστι τὸ σῶμά μου, καὶ τὸ αἷμά μου, τὸ κλώμενον καὶ διαχεόμενον εἰς ἄφεσιν ἁμαρτιῶν· ὥστε ὁσάκις ἐσθίετε τὸν ἄρτον, καὶ τὸ ποτήριον τοῦτο πίνετε, τὸν θάνατον καὶ τὴν ἀνάστασίν μου ὁμολογεῖτε. καὶ οὕτω λοιπὸν μετὰ τοιαύτης ἐννοίας, ἐσθίομεν τὸν ἄρτον καὶ τὸ ποτήριον πίνομεν, ὡς σῶμα καὶ αἷμα τοῦ υἱοῦ τοῦ θεοῦ, τὸν θάνατον καὶ τὴν ἀνάστασιν ὁμολογοῦντες τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.